ἀναγγέλλειν τὰ δικαιώματα τοῦ Θεοῦ, νυκτὸς καὶ ἡμέρας
to-announce the ordinances — of-God by-night and by-day
μεμνημένῳ τοῦ Ἀποστόλου λέγοντος, ὅτι Τριετίαν νύκτα
remembering the Apostle saying that (for)-three-years night

καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα
and day not I-ceased with tears admonishing one
ἕκαστον· καιρὸς δὲ ἐπιτηδειότατος ἡμῖν ὁ παρὼν, καὶ
each (the)-time and most-suitable for-us (is)-the present and
τόπος οὗτος ἡσυχίαν παρέχων καὶ σχολὴν πᾶσαν ἀπὸ
(the)-place this quiet providing and leisure all from
τῶν ἔξωθεν θορύβων, συνευξώμεθα ἀλλήλοις, ὥστε ἡμᾶς
the outside tumults let-us-pray-with one-another so-that we
μὲν ἐν καιρῷ τοῖς συνδούλοις ἡμῶν δοῦναι τὸ σιτομέτριον·
indeed in season to-the fellow-servants our to-give the measure-of-grain
ὑμᾶς δὲ, λαβόντας τὸν λόγον, ὡς τὴν ἀγαθὴν γῆν, τέλειον
you and having-received the word as the good earth perfect
καὶ πολυπλασίονα τὸν ἐν δικαιοσύνῃ καρπὸν ἀποδοῦναι,
and manifold the in righteousness fruit to-render
καθὼς γέγραπται. Παρακαλῶ οὖν ὑμᾶς διὰ τῆς ἀγάπης
as it-is-written I-exhort then you through the love
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ δόντος ἑαυτὸν
of-the Lord our Jesus Christ the(-one) having-given himself
ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ἀψώμεθά ποτε τῆς φροντίδος
for the sins our let-us-take-hold at-last of-the care
τῶν ψυχῶν ἡμῶν· λυπηθῶμεν ἐπὶ τῇ ματαιώσει τοῦ
of-the souls our let-us-grieve at the vanity of-the
προλαβόντος βίου· ἀγωνισώμεθα ὑπὲρ τῶν μελλόντων
preceding life let-us-struggle for the(-things) to-come
εἰς δόξαν τοῦ Θεοῦ, καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ τοῦ
to (the)-glory — of-God and — of-Christ his and of-the
προσκυνητοῦ καὶ ἁγίου Πνεύματος. Μὴ τῇ ῥᾳθυμίᾳ καὶ τῇ
adorable and Holy Spirit not in-the sloth and the
ἐκλύσει ταύτῃ ἐναπομείνωμεν, καὶ τὸ μὲν παρὸν ἀεὶ διὰ
slackness this let-us-remain and the indeed present always through
ῥᾳθυμίας προϊέμενοι, πρὸς δὲ τὸ αὔριον καὶ τὸ ἐφεξῆς
sloth letting-go to and the morrow and the next

τὴν ἀρχὴν τῶν ἔργων ὑπερτιθέμενοι, εἶτα καταληφθέντες
the beginning of-the works postponing then overtaken
ὑπὸ τοῦ ἀπαιτοῦντος τὰς ψυχὰς ἡμῶν, ἀπαρασκεύαστοι
by the(-one) demanding the souls our unprepared
τῶν ἀγαθῶν ἔργων, τῆς μὲν χαρᾶς τοῦ νυμφῶνος
in-the good works from-the indeed joy of-the bridal-chamber
ἀποβληθῶμεν, ἀργὰ δὲ καὶ ἀνόνητα μετακλαίωμεν, τὸν
we-be-cast-out idly and also unprofitably we-lament the
κακῶς παρεθέντα τοῦ βίου χρόνον ὀδυρόμενοι τότε, ὅτε
badly let-slip of-the life time bewailing then when
πλέον οὐδὲν ἐξέσται τοῖς μεταμελομένοις. Νῦν καιρὸς
more nothing will-be-possible for-the(-ones) repenting now (the)-time
εὐπρόσδεκτος, φησὶν ὁ Ἀπόστολος, νῦν ἡμέρα σωτηρίας.
acceptable says the Apostle now (the)-day of-salvation
Οὗτος ὁ αἰὼν τῆς μετανοίας, ἐκεῖνος τῆς ἀνταποδόσεως·
this the age of-the repentance that of-the recompense
οὗτος τῆς ὑπομονῆς, ἐκεῖνος τῆς παρακλήσεως. Νῦν
this of-the endurance that of-the comfort now
βοηθὸς τῶν ἐπιστρεφόντων ἀπὸ ὁδοῦ κακῆς ὁ
(is)-helper of-the(-ones) turning from (a)-way evil —
Θεὸς, τότε φοβερὸς καὶ ἀπαραλόγιστος τῶν ἀνθρωπίνων
God then fearful and undeceivable of-the human
πραγμάτων τε καὶ ῥημάτων καὶ ἐνθυμημάτων ἐξεταστής.
deeds both and words and thoughts examiner
Νῦν τῆς μακροθυμίας ἀπολαύομεν, τότε τὴν δικαιοκρισίαν
now the long-suffering we-enjoy then the righteous-judgment
γνωρίσομεν, ὅταν ἀναστῶμεν, οἱ μὲν εἰς κόλασιν
we-shall-know when we-rise-again some indeed to punishment
αἰώνιον, οἱ δὲ εἰς ζωὴν αἰώνιον, καὶ ἀπολάβῃ ἕκαστος
eternal others and to life eternal and receive each
κατὰ τὴν πρᾶξιν αὐτοῦ. Πρὸς τίνα καιρὸν ὑπερτιθέμεθα
according-to the deed his to what time do-we-postpone

τὴν ὑπακοὴν τοῦ Χριστοῦ, τοῦ καλέσαντος ἡμᾶς εἰς
the obedience — of-Christ the(-one) having-called us into
τὴν ἐπουράνιον ἑαυτοῦ βασιλείαν; Οὐκ ἐκνήψομεν; οὐκ
the heavenly his-own kingdom not will-we-sober-up not
ἀνακαλεσόμεθα ἑαυτοὺς ἀπὸ τοῦ κατὰ συνήθειαν βίου
will-we-recall ourselves from the according-to custom life
πρὸς τὴν ἀκρίβειαν τοῦ Εὐαγγελίου; Οὐκ ἐν ὀφθαλμοῖς
to the exactness of-the Gospel not in eyes
ληψόμεθα τὴν ἡμέραν Κυρίου τὴν φοβερὰν ἐκείνην
shall-we-take the day of-(the)-Lord the fearful that
καὶ ἐπιφανῆ, ἐν ᾗ τοὺς μὲν τῇ δεξιᾷ τοῦ Κυρίου
and manifest in which the(-ones) indeed to-the right of-the Lord
διὰ τῶν πράξεων προσεγγίζοντας βασιλεία οὐρανῶν
through the deeds drawing-near (the)-kingdom of-heavens
ὑποδέξεται· τοὺς δὲ πρὸς τὴν ἀριστερὰν διὰ τὴν
will-receive the(-ones) and to the left because-of the
ἐρημίαν τῶν ἀγαθῶν ἔργων ἀπεωσμένους, γέεννα πυρὸς
lack of-the good works thrust-away (a)-Gehenna of-fire
καὶ σκότος αἰώνιον κατακρύψει; Ἐκεῖ ἔσται, φησὶν, ὁ
and darkness eternal will-hide there will-be he-says the
κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.
weeping and the gnashing of-the teeth

2 Ἡμεῖς δὲ βασιλείας μὲν οὐρανῶν ἐπιθυμεῖν λέγομεν, ἐξ
we but (the)-kingdom indeed of-heavens to-desire say from
ὧν δὲ ἔστιν αὐτῆς ἐπιτυχεῖν οὐ φροντίζομεν· ἀλλὰ
which but it-is(-possible) it to-attain not we-care but
μηδένα πόνον ὑπὲρ ἐντολῆς Κυρίου καταδεχόμενοι,
no toil for (the)-commandment of-(the)-Lord accepting
τῶν ἴσων τιμῶν τεύξεσθαι τοῖς μέχρι θανάτου
of-the equal honors to-be-going-to-obtain with-the(-ones) until death
πρὸς τὴν ἁμαρτίαν ἀντικαταστᾶσιν ἐν τῇ ματαιότητι
against the sin having-resisted in the vanity

τοῦ νοὸς ἡμῶν ὑποτιθέμεθα. Τίς ἐν καιρῷ τῆς σπορᾶς
of-the mind our we-suppose who in time of-the sowing
οἴκοι καθήμενος ἢ καθεύδων, ἐνστάντος τοῦ θερισμοῦ,
at-home sitting or sleeping having-come the harvest
τὸν κόλπον ἐπλήρωσε τῶν δραγμάτων; τίς ἐτρύγησεν
the bosom filled with-the sheaves who gathered-grapes-from
ἀμπελῶνα τὸν μὴ παρ᾽ αὐτοῦ πεφυτευμένον καὶ
(a)-vineyard the(-one) not by him planted and
πεπονημένον; Ἐκείνων οἱ καρποὶ, ὧν καὶ οἱ πόνοι· αἱ
labored of-those the fruits of-whom also the labors the
τιμαὶ καὶ οἱ στέφανοι τῶν νενικηκότων εἰσί. Τίς ποτε
honors and the crowns of-the(-ones) having-conquered are who ever
στεφανοῖ τὸν μηδὲ ἀποδύντα πρὸς τὸν ἀντίπαλον;
crowns the(-one) not-even having-stripped against the opponent
ὁπότε οὐ νικῆσαι δεῖ μόνον, ἀλλὰ καὶ νομίμως
since not to-conquer (it)-is-necessary only but also lawfully
ἀθλῆσαι, κατὰ τὸν Ἀπόστολον· τοῦτο δέ ἐστι τὸ
to-compete according-to the Apostle this and is the
μηδὲ μικρὸν μὲν παριέναι τι τῶν διατεταγμένων·
not-even small indeed to-pass-over anything of-the(-things) ordained
οὕτω δὲ ἕκαστον ποιῆσαι, ὡς προστετάγμεθα. Μακάριος
so and each to-do as we-have-been-commanded blessed
γὰρ, φησὶν, ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ Κύριος
for he-says (is)-the servant that whom having-come the Lord
εὑρήσει, οὐχὶ ποιοῦντα ὡς ἔτυχεν, ἀλλὰ ποιοῦντα οὕτως·
will-find not doing as it-happened but doing thus
καὶ, Ἐὰν ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς,
and if rightly indeed you-offer rightly but not you-divide
ἥμαρτες. Ἡμεῖς δὲ, μίαν που τῶν ἐντολῶν πεποιηκέναι
you-sinned we but one perhaps of-the commandments to-have-done
νομίσαντες (οὐ γὰρ ἂν φαίην, ὅτι ποιήσαντες· πᾶσαι γὰρ
having-thought not for — would-I-say that having-done all for

ἀλλήλων ἔχονται κατὰ τὸν ὑγιῆ τοῦ λόγου σκοπὸν,
one-another hold according-to the sound of-the reason aim
ὡς ἐν τῇ λύσει τῆς μιᾶς καὶ τὰς λοιπὰς ἐξ ἀνάγκης
so-that in the dissolution of-the one also the rest of necessity
συγκαταλύεσθαι), οὐκ ἐπὶ τοῖς παρεθεῖσι τὴν ὀργὴν
to-be-dissolved-with not for the(-things) let-pass the wrath
ἐκδεχόμεθα, ἀλλ' ἐπὶ τῷ κατορθωθέντι δῆθεν τὰς
we-expect but for the(-thing) achieved forsooth the
τιμὰς ἀναμένομεν. Ὁ ἐκ τῶν δέκα ταλάντων τῆς
honors we-await the(-one) of the ten talents of-the
παρακαταθήκης ἕν που ἢ δύο παρακατασχὼν, τὰ δὲ
deposit one perhaps or two having-kept-back the and
λοιπὰ ἀποτίσας, οὐχὶ εὐγνώμων διὰ τὴν τῶν πλειόνων
rest having-paid not right-minded because-of the of-the more
ἀπότισιν γνωρίζεται, ἀλλὰ ἄδικος καὶ πλεονέκτης ἐπὶ
payment is-known but unjust and grasping for
τῇ τῶν ἐλαττόνων ἀποστερήσει ἐλέγχεται. Τί δὲ λέγω
the of-the fewer withholding is-convicted why and do-I-say
ἀποστερήσει; ὁπότε ὁ τὸ ἓν τάλαντον πιστευθεὶς,
withholding since the(-one) the one talent entrusted
εἶτα ἀποδοὺς αὐτὸ ἐκεῖνο ὁλόκληρον καὶ ἀκέραιον ὃ
then having-rendered it that whole and intact which
ὑπεδέξατο, ὅτι μὴ προσειργάσατο τῷ δοθέντι,
he-received because not he-worked-more with-the(-thing) given
κατακρίνεται. Ὁ δέκα ἔτη τὸν πατέρα τιμήσας, μίαν
is-condemned the(-one) ten years the father having-honored one
δὲ πληγὴν ὕστερον ἐμβαλὼν μόνην, οὐχ ὡς εὐεργέτης
and blow later having-struck only not as benefactor
τιμᾶται, ἀλλ' ὡς πατραλοίας καταδικάζεται. Πορευθέντες,
is-honored but as parricide is-condemned having-gone
φησὶν ὁ Κύριος, μαθητεύσατε πάντα τὰ ἔθνη, διδάσκοντες
says the Lord make-disciples all the nations teaching

αὐτοὺς, οὐχὶ τὰ μὲν τηρεῖν, τῶν δὲ ἀμελεῖν,
them not the(-things) indeed to-keep the(-others) but to-neglect
ἀλλὰ τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. Καὶ ὁ
but to-keep all as-many-as I-commanded you and the
Ἀπόστολος ἀκολούθως γράφει· Μηδεμίαν ἐν μηδενὶ διδόντες
Apostle consistently writes no in nothing giving
προσκοπὴν, ἵνα μὴ μωμηθῇ ἡ διακονία, ἀλλ' ἐν παντὶ
offense that not be-blamed the ministry but in everything
συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι. Εἰ γὰρ μὴ πάντα
commending ourselves as of-God ministers if for not all(-things)
ἡμῖν πρὸς τὸν τῆς σωτηρίας σκοπὸν ἀναγκαῖα ἦν, οὐδ'
to-us toward the of-the salvation aim necessary were not-even
ἂν ἐγράφησαν πᾶσαι αἱ ἐντολαὶ, οὐδ' ἂν πᾶσαι
— would-have-been-written all the commandments nor — all
φυλαχθῆναι ἀναγκαίως διηγορεύθησαν. Τί μοι τὸ ὄφελος
to-be-kept necessarily would-have-been-declared what to-me the profit
τῶν ἄλλων κατορθωμάτων, εἰ μέλλοιμι, μωρὸν εἰπὼν τὸν
of-the other achievements if I-am-to fool having-said the
ἀδελφὸν, ἔνοχος ἔσεσθαι τῇ γεέννῃ; Τί γὰρ ὄφελος τῆς
brother liable to-be-going-to-be to-the Gehenna what for profit of-the
ἀπὸ τῶν πολλῶν ἐλευθερίας τῷ ὑφ' ἑνὸς κρατουμένῳ
from the many freedom to-the(-one) by one being-held
εἰς δουλείαν; Ὁ γὰρ ποιῶν, φησὶ, τὴν ἁμαρτίαν δοῦλός
into slavery the(-one) for doing he-says the sin (a)-slave
ἐστι τῆς ἁμαρτίας. Τί δὲ τὸ κέρδος τῆς ἐν πολλοῖς
is of-the sin what and the gain of-the in many
ἀπαθείας τῷ ὑφ' ἑνὸς πάθους φθειρομένῳ τὸ σῶμα;
passionlessness to-the(-one) by one passion being-corrupted the body
Ἄρα οὖν, φησί τις, τὰ πλήθη τῶν Χριστιανῶν μὴ 3
then therefore says someone the multitudes of-the Christians not
φυλάσσοντα πάσας τὰς ἐντολὰς, ἀνόνητον ἕξει τὴν τινων
keeping all the commandments unprofitable will-have the of-some

φυλακήν; Πρὸς τοῦτο τοῦ μακαρίου Πέτρου μνημονεῦσαι
keeping to this the blessed Peter to-recall
καλὸν, τοῦ μετὰ τοσαῦτα μὲν κατορθώματα, τοιούτους
(is)-fine the(-one) after so-many indeed achievements such
δὲ τοὺς μακαρισμοὺς, ἐφ' ἑνὶ μόνῳ ἀκούοντος· Ἐὰν μὴ νίψω
and the blessings for one only hearing if not I-wash
σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. Ἐῶ δὲ λέγειν, ὅτι οὐδὲ
you not you-have part with me I-forbear and to-say that not-even
αὐτὸ ἐκεῖνο ῥᾳθυμίας οὐδὲ καταφρονήσεως εἶχεν ἔνδειξιν,
itself that of-sloth nor of-contempt had (an)-indication
ἀλλὰ τιμῆς καὶ εὐλαβείας ἦν ἔμφασις. Καὶ μὴν, εἴποι
but of-honor and reverence was (an)-expression and yet would-say
τις ἂν, γέγραπται· Πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα
someone — it-is-written every(-one) who — calls-on the name
Κυρίου, σωθήσεται· ὥστε ἀρκεῖ καὶ αὐτὴ ἡ ἐπίκλησις τοῦ
of-(the)-Lord shall-be-saved so-that suffices also itself the invocation of-the
ὀνόματος τοῦ Κυρίου σῶσαι τὸν ἐπικαλούμενον. Ἀλλ'
name of-the Lord to-save the(-one) invoking but
ἀκουέτω καὶ οὗτος τοῦ Ἀποστόλου λέγοντος· Πῶς οὖν
let-hear also this(-man) the Apostle saying how then
ἐπικαλέσονται, εἰς ὃν οὐκ ἐπίστευσαν; Εἰ δὲ πιστεύεις,
will-they-call-on in whom not they-believed if but you-believe
ἄκουε τοῦ Κυρίου λέγοντος· Οὐ πᾶς ὁ λέγων μοι,
hear the Lord saying not every(-one) the(-one) saying to-me
Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν,
Lord Lord will-enter into the kingdom of-the heavens
ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν
but the(-one) doing the will of-the Father my the(-one) in
οὐρανοῖς. Ὅπου γε καὶ ὁ τὸ θέλημα τοῦ Κυρίου
heavens where at-least also the(-one) the will of-the Lord
ἐργαζόμενος, μὴ καθὼς θέλει δὲ ὁ Θεὸς, μηδὲ ἐν διαθέσει
working not as wishes but — God nor in disposition

τῆς πρὸς Θεὸν ἀγάπης τοῦτο ποιῶν, ἀνόνητον ἔχει τὴν
of-the toward God love this doing unprofitable has the
τοῦ ἔργου σπουδὴν, κατὰ τὴν φωνὴν αὐτοῦ τοῦ Κυρίου
of-the work zeal according-to the voice of-himself the Lord
ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰπόντος, ὅτι Ποιοῦσι πρὸς τὸ
our Jesus Christ having-said that they-do (it)-for the
θεαθῆναι τοῖς ἀνθρώποις· ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι
to-be-seen by-the men amen I-say to-you that they-have
τὸν μισθὸν αὐτῶν. Ὅθεν Παῦλος ὁ ἀπόστολος ἐπαιδεύθη
the reward their whence Paul the apostle was-taught
εἰπεῖν, ὅτι Κἂν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ
to-say that even-if I-dole-out all the possessions my and
ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ
if I-give-over the body my that I-may-be-burned love but
μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ὅλως δὲ τρεῖς ταύτας ἐγὼ
not I-have nothing I-am-profited in-all and three these I
διαφορὰς τῆς διαθέσεως πρὸς τὴν ἀπαραίτητον ἀνάγκην
differences of-the disposition toward the inexorable necessity
τῆς ὑπακοῆς καθορῶ. Ἢ γὰρ φοβούμενοι τὰς κολάσεις
of-the obedience I-discern either for fearing the punishments
ἐκκλίνομεν ἀπὸ τοῦ κακοῦ, καί ἐσμεν ἐν τῇ διαθέσει τῇ
we-turn-aside from the evil and we-are in the disposition the
δουλικῇ· ἢ, τὰ ἐκ τοῦ μισθοῦ κέρδη διώκοντες, τῆς ἑαυτῶν
slavish or the from the wage gains pursuing the of-ourselves
ἕνεκεν ὠφελείας πληροῦμεν τὰ προστάγματα, καὶ κατὰ
for-the-sake-of benefit we-fulfill the commands and in
τοῦτο προσεοίκαμεν τοῖς μισθίοις· ἢ δι' αὐτὸ τὸ καλὸν,
this we-resemble the hirelings or because-of itself the good
καὶ τὴν πρὸς τὸν δεδωκότα ἡμῖν τὸν νόμον ἀγάπην,
and the toward the(-one) having-given us the law love

χαίροντες, ὅτι οὕτως ἐνδόξῳ καὶ ἀγαθῷ Θεῷ δουλεύειν
rejoicing that so glorious and good God to-serve
κατηξιώθημεν, καί ἐσμεν οὕτως ἐν τῇ τῶν υἱῶν διαθέσει.
we-were-deemed-worthy and we-are thus in the of-the sons disposition
Οὔτε οὖν ὁ ἐν φόβῳ τὰς ἐντολὰς κατορθῶν, καὶ ἀεὶ
neither then the(-one) in fear the commandments accomplishing and always
τὸ τῆς ῥᾳθυμίας ἐπιτίμιον ὑφορώμενος, τὰ μὲν ποιήσει
the of-the sloth penalty suspecting the(-things) indeed will-do
τῶν προστεταγμένων αὐτῷ, τὰ δὲ παρόψεται·
of-the(-things) commanded him the(-others) but will-overlook
ἀλλὰ τὴν ἐπὶ πάσῃ παρακοῇ ἐκδίκησιν ὁμοίως ἑαυτῷ
but the for every disobedience vengeance alike to-himself
φοβερὰν ὑπολήψεται. Καὶ διὰ τοῦτο μακαρίζεται μὲν
fearful will-suppose and because-of this is-blessed indeed
ὁ πάντα καταπτήσσων δι' εὐλάβειαν· στήκει δὲ
the(-one) all(-things) cowering-at because-of reverence stands and
ἑδραῖος ἐν τῇ ἀληθείᾳ, δυνάμενος εἰπεῖν· Προωρώμην τὸν
firm in the truth being-able to-say I-saw-before(-me) the
Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μού ἐστιν,
Lord before me continually because at right my he-is
ἵνα μὴ σαλευθῶ· ὡς οὐδὲν αἱρούμενος παριδεῖν τῶν
that not I-be-shaken as nothing choosing to-overlook of-the(-things)
δεόντων· καὶ, Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν
needful and blessed (the)-man the(-one) fearing the
Κύριον. Διὰ τί; Ὅτι Ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει
Lord because-of what because in the commandments his he-will-delight
σφόδρα. Οὐ τοίνυν ἐστὶ τῶν φοβουμένων τὸ παριέναι
exceedingly not therefore is-it of-the(-ones) fearing the to-pass-over
τι τῶν ἐντεταλμένων, ἢ ἀμελῶς ποιεῖν· ἀλλ' οὐδὲ
anything of-the(-things) commanded or negligently to-do but not-even
ὁ μισθωτὸς παραβῆναί τι τῶν διατεταγμένων
the hireling to-transgress anything of-the(-things) ordained

αἱρήσεται. Πῶς γὰρ κομίσεται τὸν μισθὸν τῆς ἐργασίας τοῦ
will-choose how for will-he-receive the wage of-the work of-the
ἀμπελῶνος, μὴ πάντα πληρώσας τὰ συμπεφωνημένα;
vineyard not all having-fulfilled the(-things) agreed
Καὶ γὰρ ἐὰν ἕν τι ἐλλείπῃ τῶν ἀναγκαίων, ἄχρηστον
and for if one something be-lacking of-the necessary(-things) useless
αὐτὸν τῷ κεκτημένῳ κατέστησε. Τίς οὖν ἔτι τῆς βλάβης
him to-the owner it-made who then still of-the damage
μισθὸν ὑποτελέσει τῷ ἀδικήσαντι; Τρίτον ἦν ἡ
(a)-wage will-pay to-the(-one) having-wronged(-him) (the)-third was the
κατὰ ἀγάπην ὑπηρεσία. Τίς οὖν υἱὸς, σκοπὸν ἔχων
according-to love service what then son aim having
τὴν τοῦ πατρὸς εὐαρέστησιν, ἐπὶ τοῖς μείζοσιν αὐτὸν
the of-the father good-pleasure in the greater(-things) him
εὐφραίνων, τῶν μικροτάτων ἕνεκεν λυπεῖν αἱρήσεται; Πολὺ
gladdening of-the smallest for-the-sake to-grieve will-choose much
δὲ πλέον, καὶ τοῦ Ἀποστόλου μεμνημένος, εἰπόντος· Καὶ μὴ
and more also the Apostle remembering having-said and not
λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε.
grieve the Spirit the Holy — of-God in whom you-were-sealed
Οἱ τοίνυν τὰς πλείστας τῶν ἐντολῶν παραβαίνοντες 4
the(-ones) therefore the most of-the commandments transgressing
ἐν ποίῳ μέρει τετάχθαι βούλονται; μήτε ὡς Πατρὶ
in what part to-have-been-ranked do-they-wish neither as (a)-Father
ὑπηρετοῦντες τῷ Θεῷ, μήτε ὡς μεγάλα ἐπαγγελλομένῳ
serving — God nor as great(-things) promising
πειθόμενοι, μήτε ὡς Δεσπότῃ δουλεύοντες. Εἰ γὰρ Πατήρ
obeying nor as (a)-Master serving-as-slaves if for (a)-Father
εἰμι, φησὶν, ἐγὼ, ποῦ ἐστιν ἡ δόξα μου; καὶ εἰ Κύριός εἰμι
I-am he-says I where is the glory my and if (a)-Lord I-am
ἐγὼ, ποῦ ἐστιν ὁ φόβος μου; Ὁ μὲν γὰρ φοβούμενος
I where is the fear my the(-one) indeed for fearing

τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα· διὰ
the Lord in the commandments his will-delight exceedingly through
δὲ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν, φησὶν, ἀτιμάζεις.
and the transgression of-the law — God he-says you-dishonor
Πῶς οὖν, τὸν καθ' ἡδονὴν βίον τοῦ κατ' ἐντολὴν
how then the according-to pleasure life to-the(-one) according-to commandment
προτιμήσαντες, ζωῆς μακαριότητα, καὶ ἰσοπολιτείαν τῶν
having-preferred of-life (the)-blessedness and equal-citizenship of-the
ἁγίων, καὶ τὰς μετ' ἀγγέλων εὐφροσύνας ἐν προσώπῳ
saints and the with angels joys in (the)-presence
Χριστοῦ ἑαυτοῖς ὑποθώμεθα; Νηπίας ὄντως φρενὸς τὰ
of-Christ for-ourselves may-we-propose of-(a)-childish truly mind (are)-the
τοιαῦτα φαντάσματα. Πῶς ἔσομαι μετὰ Ἰὼβ, ὁ μηδὲ
such fantasies how shall-I-be with Job the(-one) not-even
τὴν τυχοῦσαν θλῖψιν μετὰ εὐχαριστίας δεξάμενος; Πῶς
the ordinary affliction with thanksgiving having-received how
μετὰ τοῦ Δαβὶδ, ὁ μὴ πρὸς τὸν πολέμιον μακροθύμως
with — David the(-one) not toward the enemy long-sufferingly
διατεθείς; Πῶς μετὰ τοῦ Δανιὴλ, ὁ μὴ μετ' ἐγκρατείας
disposed how with — Daniel the(-one) not with self-control
διηνεκοῦς καὶ δεήσεως φιλοπόνου τὸν Θεὸν ἐκζητήσας;
continual and prayer laborious — God having-sought
Πῶς μεθ' ἑκάστου τῶν ἁγίων, ὁ μὴ τοῖς ἴχνεσιν
how with each of-the saints the(-one) not in-the footsteps
αὐτῶν περιπατήσας; Τίς οὕτως ἄκριτος ἀθλοθέτης, ὡς τῶν
their having-walked who so undiscerning (an)-umpire as of-the
ἴσων ἀξιῶσαι στεφάνων τὸν νικητὴν καὶ τὸν μηδὲν
equal to-deem-worthy crowns the victor and the(-one) nothing
ἠγωνισμένον; Τίς στρατηγὸς εἰς τὴν μερίδα τῶν σκύλων
having-contested what general to the share of-the spoils
ἐξίσου ποτὲ τοῖς νενικηκόσι τοὺς μηδὲ φανέντας ἐπὶ
equally ever with-the(-ones) having-conquered the(-ones) not-even having-appeared at

τῆς μάχης ἐκάλεσεν; Ἀγαθὸς ὁ Θεὸς, ἀλλὰ καὶ δίκαιος.
the battle called good (is)-the God but also just
Δικαίου δὲ, ἡ πρὸς ἀξίαν ἀντίδοσις, καθὼς γέγραπται·
of-(the)-just and (is)-the toward worth recompense as it-is-written
Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ.
do-good Lord to-the good and to-the upright in-the heart
Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος
the(-ones) but turning-aside into the crooked-ways will-lead-away (the)-Lord
μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. Ἐλεήμων, ἀλλὰ
with the(-ones) working the lawlessness merciful but
καὶ κριτής. Ἀγαπᾷ γὰρ, φησὶν, ἐλεημοσύνην καὶ κρίσιν ὁ
also (a)-judge loves for he-says mercy and judgment the
Κύριος. Διὸ λέγει· Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε.
Lord wherefore he-says mercy and judgment I-will-sing to-you Lord
Ἐμάθομεν ἐπὶ τίνας τὸ Ἔλεος· Μακάριοι γὰρ, φησὶν, οἱ
we-learned upon whom the mercy blessed for he-says the
ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Ὁρᾷς πῶς κεκριμένως
merciful because they will-obtain-mercy you-see how discerningly
κέχρηται τῷ ἐλέῳ; οὔτε ἀκρίτως ἐλεῶν, οὔτε ἀνηλεῶς
he-has-used the mercy neither undiscerningly pitying nor unmercifully
κρίνων. Ἐλεήμων γὰρ ὁ Κύριος, καὶ δίκαιος. Μὴ οὖν ἐξ
judging merciful for (is)-the Lord and just not then by
ἡμισείας τὸν Θεὸν γνωρίζωμεν, μηδὲ ἀφορμὴν ῥᾳθυμίας τὴν
half — God let-us-know nor (an)-occasion of-sloth the
αὐτοῦ φιλανθρωπίαν λαμβάνωμεν. Διὰ τοῦτο βρονταὶ,
his love-of-mankind let-us-take because-of this thunders
διὰ τοῦτο κεραυνοὶ, ἵνα μὴ καταφρονῆται ἡ ἀγαθότης.
because-of this thunderbolts that not be-despised the goodness
Ὁ τὸν ἥλιον ἀνατέλλων, καὶ ἀβλεψίαν καταδικάζει.
the(-one) the sun making-rise also blindness condemns

Ὁ τὸν ὄμβρον διδοὺς, καὶ τὸ πῦρ βρέχει. Ἐκεῖνα
the(-one) the rain giving also the fire rains those(-things)
τῆς χρηστότητος, ταῦτα τῆς ἀποτομίας· ἢ δι᾽
of-the kindness these of-the severity either because-of
ἐκεῖνα ἀγαπήσωμεν, ἢ διὰ ταῦτα φοβηθῶμεν, ἵνα
those let-us-love or because-of these let-us-fear that
μὴ ῥηθῇ καὶ ἡμῖν· Ἢ τοῦ πλούτου τῆς χρηστότητος
not be-said also to-us or the riches of-the kindness
αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς,
his and of-the forbearance and of-the long-suffering do-you-despise
ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε
not-knowing that the kindness — of-God to repentance you
ἄγει; Κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετανόητον
leads according-to but the hardness your and impenitent
καρδίαν, θησαυρίζεις ἑαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς. Ἐπεὶ
heart you-treasure-up for-yourself wrath in (the)-day of-wrath since
τοίνυν οὔτε δυνατὸν σωθῆναι, μὴ ποιοῦντας τὰ κατ᾽
therefore neither (is-it)-possible to-be-saved not doing the according-to
ἐντολὴν τοῦ Θεοῦ ἔργα, οὔτε τὸ παριδεῖν τι
(the)-commandment — of-God works nor the to-overlook anything
τῶν προστεταγμένων ἀκίνδυνον (δεινὴ γὰρ ἡ
of-the(-things) commanded without-danger terrible for (is)-the
ἔπαρσις κριτὰς ἡμᾶς τοῦ νομοθέτου καθέζεσθαι, καὶ τοὺς
presumption judges us of-the lawgiver to-sit and the(-ones)
μὲν ἐγκρίνειν τῶν νόμων, τοὺς δὲ παραπέμπεσθαι),
indeed to-approve of-the laws the(-others) but to-dismiss
φέρε δὴ οἱ τῆς εὐσεβείας ἀγωνισταὶ, οἱ τὸν ἡσύχιον
come indeed the of-the piety contenders the(-ones) the quiet
καὶ ἀπράγμονα βίον, ὡς συνεργὸν τῆς φυλακῆς τῶν
and untroubled life as (a)-helper of-the keeping of-the
εὐαγγελικῶν δογμάτων τιμήσαντες, κοινὴν φροντίδα καὶ
evangelical doctrines having-honored common care and

βουλὴν προθώμεθα, ὅπως ἂν μηδὲν ἡμᾶς διαφύγῃ τῶν
counsel let-us-set-forth so-that — nothing us may-escape of-the(-things)
ἐντεταλμένων. Εἰ γὰρ δεῖ τέλειον εἶναι τὸν τοῦ Θεοῦ
commanded if for (it)-is-necessary perfect to-be the — of-God
ἄνθρωπον (καθὼς γέγραπται, καὶ ὁ λόγος ἐν τοῖς πρὸ
man as it-is-written and the reason in the(-things) before
τούτων ἀπέδειξεν), ἀνάγκη πᾶσα διὰ πάσης ἐντολῆς
these showed (it-is)-necessary all through every commandment
καθαρισθῆναι εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ
to-be-cleansed to (the)-measure of-stature of-the fullness —
Χριστοῦ, ἐπεὶ καὶ κατὰ τὸν θεῖον νόμον, κἂν καθαρὸν
of-Christ since also according-to the divine law even-if clean
ᾖ τὸ λελωβημένον, ἀπρόσδεκτον εἰς θυσίαν τῷ Θεῷ.
be the(-thing) maimed (is)-unacceptable for sacrifice — to-God
Οὗπερ ἂν οὖν ἕκαστος ἐνδεῶς ἔχειν ἡγῆται, τοῦτο εἰς
whatever — then each lacking to-be thinks this to
κοινὴν προτιθέτω διάσκεψιν. Ῥᾷον γὰρ ἂν ἐν τῇ
common let-him-set-before examination more-easily for — in the
φιλοπόνῳ τῶν πλειόνων διερευνήσει τὸ λανθάνον
laborious of-the many searching the(-thing) hidden
ἐξευρεθείη, Θεοῦ, δηλονότι, κατὰ τὴν ἐπαγγελίαν τοῦ
would-be-found-out God clearly according-to the promise of-the
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, χαριζομένου ἡμῖν τοῦ
Lord our Jesus Christ granting to-us of-the(-thing)
ζητουμένου τὴν εὕρεσιν διδασκαλίᾳ καὶ ὑπομνήσει τοῦ
sought the finding by-(the)-teaching and reminding of-the
ἁγίου Πνεύματος. Ὥσπερ οὖν ἐμοὶ ἀνάγκη ἐπίκειται,
Holy Spirit as then on-me necessity lies
καὶ οὐαί μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι· οὕτω καὶ
and woe to-me it-is if not I-preach-the-gospel so also
ὑμῖν ἴσος ἀγὼν ἀπορῥαθυμήσασι πρὸς τὴν ἐξέτασιν, ἢ
for-you (is)-equal (the)-peril having-been-slothful toward the examination or

ἀτόνως καὶ ἐκλελυμένως πρός τε τὴν φυλακὴν τῶν
feebly and slackly toward both the keeping of-the(-things)
παραδεδομένων καὶ τὴν διὰ τῶν ἔργων πλήρωσιν
handed-down and the through the works fulfillment
διατεθεῖσιν. Διότι φησὶν ὁ Κύριος· Ὁ λόγος ὃν ἐλάλησα,
having-been-disposed because says the Lord the word which I-spoke
ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· καὶ, Δοῦλος
that will-judge him in the last day and (a)-servant
ὁ μὲν μὴ γνοὺς τὸ θέλημα τοῦ Κυρίου ἑαυτοῦ,
the(-one) indeed not having-known the will of-the Lord his-own
ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας· ὁ δὲ
having-done but (things)-worthy of-blows shall-be-beaten (with)-few the(-one) but
γνοὺς, καὶ μὴ ποιήσας, μηδὲ ἑτοιμάσας ἑαυτὸν πρὸς τὸ
having-known and not having-done nor having-prepared himself toward the
θέλημα αὐτοῦ, δαρήσεται πολλάς. Εὐξώμεθα οὖν ἐμοὶ τὴν
will his shall-be-beaten (with)-many let-us-pray then for-me the
οἰκονομίαν τοῦ λόγου ἄμεμπτον, καὶ ὑμῖν ἔγκαρπον τὴν
management of-the word blameless and for-you fruitful the
διδασκαλίαν γενέσθαι. Ὡς οὖν εἰδότες, ὅτι ἀντιπρόσωποι
teaching to-become as then knowing that face-to-face
ἡμῖν οἱ τῆς θεοπνεύστου Γραφῆς λόγοι στήσονται
to-us the(-words) of-the God-inspired Scripture words will-stand
ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ (Ἐλέγξω γάρ σε, φησὶ, καὶ
at the judgment-seat — of-Christ I-will-refute for you he-says and
παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου), οὕτω
will-set before face your the sins your so
καὶ πρόσχωμεν νηφόντως τοῖς λεγομένοις, καὶ εἰς ἔργον
also let-us-attend soberly to-the(-things) said and into deed
προαγαγεῖν τὰ θεῖα διδάγματα σπουδαίως ἐπειχθῶμεν, ὅτι
to-bring-forward the divine teachings earnestly let-us-hasten because
οὐκ οἴδαμεν ποίᾳ ἡμέρᾳ ἢ ὥρᾳ ὁ Κύριος ἡμῶν ἔρχεται.
not we-know on-what day or hour the Lord our comes

Περὶ τάξεως καὶ ἀκολουθίας τῆς ἐν ταῖς ἐντολαῖς τοῦ Κυρίου

I · THE ORDER OF THE COMMANDMENTS

Asked whether the Lord's commandments have an order and sequence, or are all of equal rank so that one may begin anywhere, as on a circle, Basil answers that the Lord himself set the order when the lawyer asked which commandment is first: to love God with all one's heart, soul, strength, and mind is the first and great one, and the second, like it and completing it, is to love one's neighbor as oneself. From these and like passages of Scripture the order of all the commandments can be learned.

Ἐπειδὴ ἔδωκεν ἡμῖν ὁ λόγος ἐξουσίαν τοῦ ἐπερωτᾶν,
since gave us the reason authority of-the to-ask
πρῶτον πάντων διδαχθῆναι δεόμεθα, εἰ τάξις τίς ἐστι καὶ
first of-all to-be-taught we-need whether order some is and
ἀκολουθία ἐν ταῖς ἐντολαῖς τοῦ Θεοῦ, ὥστε τὴν μὲν εἶναι
sequence in the commandments — of-God so-that the(-one) indeed to-be
πρώτην, τὴν δὲ δευτέραν, καὶ καθεξῆς· ἢ πᾶσαι ἀλλήλων
first the(-other) and second and in-order or all one-another
ἔχονται, καὶ πᾶσαι ἀλλήλαις ὁμότιμοι πρὸς τὸν τῆς ἀρχῆς
hold and all with-one-another equal-in-honor toward the of-the beginning
λόγον τυγχάνουσιν, ὡς ἄδειαν εἶναι τῷ βουλομένῳ,
account are so-that freedom to-be for-the(-one) wishing
καθάπερ ἐν κύκλῳ, ἀρχὴν λαμβάνειν ὁπόθεν βούλεται.
as in (a)-circle (a)-beginning to-take wherever he-wishes
Τὸ ἐρώτημα ὑμῶν ἀρχαῖόν ἐστι, καὶ πάλαι προεκδεδομένον
the question your ancient is and long-ago set-forth-before
ἐν τοῖς Εὐαγγελίοις, ἡνίκα προσελθὼν τῷ Κυρίῳ ὁ
in the Gospels when having-come to-the Lord the
νομικὸς, Διδάσκαλε, φησὶ, ποία πρώτη ἐν τῷ νόμῳ ἐστὶν
lawyer teacher he-says what-kind first in the law is

ἐντολή; Καὶ ὁ Κύριος ἀπεκρίνατο· Ἀγαπήσεις Κύριον
commandment and the Lord answered you-shall-love (the)-Lord
τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς
— God your from whole the heart your and from whole the
ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης
soul your and from whole the strength your and from whole
τῆς διανοίας σου. Αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή.
the mind your this is (the)-first and great commandment
Δευτέρα δὲ ὁμοία αὕτη· Ἀγαπήσεις τὸν πλησίον σου ὡς
(the)-second and (is)-like this you-shall-love the neighbor your as
σεαυτόν. Αὐτὸς οὖν ἐπέθηκε ταῖς ἑαυτοῦ ἐντολαῖς τὴν
yourself himself then laid-on the his-own commandments the
τάξιν ὁ Κύριος· πρώτην μὲν καὶ μεγίστην περὶ τῆς εἰς
order the Lord (the)-first indeed and greatest about the toward
τὸν Θεὸν ἀγάπης τὴν ἐντολὴν ὁρισάμενος· δευτέραν δὲ
— God love the commandment having-defined (the)-second and
τῇ τάξει, καὶ ὁμοίαν ἐκείνῃ, μᾶλλον δὲ συμπληρωτικὴν
in-the order and like to-that rather and completing
τῆς προτέρας, καὶ ἐξ αὐτῆς ἠρτημένην, τὴν περὶ τοῦ
of-the former and from it depending the(-one) about the
ἀγαπᾷν τὸν πλησίον· ὥστε ἐκ τῶν εἰρημένων, καὶ
to-love the neighbor so-that from the(-things) said and
ἐξ ἑτέρων δὲ τοιούτων, ἐν ταῖς θεοπνεύστοις Γραφαῖς
from others too such in the God-inspired Scriptures
φερομένων, τὴν ἐν πάσαις ταῖς ἐντολαῖς τοῦ Κυρίου
recorded the in all the commandments of-the Lord
τάξιν τε καὶ ἀκολουθίαν ἔστι καταμαθεῖν.
order both and sequence it-is(-possible) to-learn

Περὶ τῆς πρὸς Θεὸν ἀγάπης, καὶ ὅτι κατὰ φύσιν ἐν ἀνθρώποις ἡ πρὸς τὰς ἐντολὰς τοῦ Κυρίου ῥοπὴ καὶ δύναμις

II · THE LOVE OF GOD

Love of God cannot be taught, any more than delight in light or love of life; it is sown in us at our making, and the commandments only cultivate the seed and bring it to maturity. Virtue is the right use of the powers God gave, and wickedness their misuse. We love the beautiful by nature, and nothing is more beautiful than God; we love those who do us good, and his gifts are beyond counting: our creation in his image, his care when we fell, and above all Christ, who took the form of a servant, bore our sins, and died to bring us to glory. He asks no repayment but to be loved. Estrangement from God is heavier than the punishments of Gehenna, and so, Basil fears, is giving the enemy cause to boast against Christ of our disobedience.

Οὐκοῦν περὶ τῆς εἰς Θεὸν ἀγάπης πρῶτον ἡμῖν
therefore about the toward God love first to-us
διαλέχθητι. Ὅτι μὲν γὰρ χρὴ ἀγαπᾷν, ἀκηκόαμεν·
discourse that indeed for (it)-is-needful to-love we-have-heard
πῶς δ' ἂν τοῦτο κατορθωθείη, μαθεῖν ἐπιζητοῦμεν.
how and — this might-be-achieved to-learn we-seek
Ἀδίδακτος μὲν ἡ πρὸς τὸν Θεὸν ἀγάπη. Οὔτε γὰρ φωτὶ 1
untaught (is)-indeed the toward — God love neither for in-light
χαίρειν, καὶ ζωῆς ἀντιποιεῖσθαι παρ' ἄλλου μεμαθήκαμεν,
to-rejoice and life to-lay-claim-to from another we-have-learned
οὔτε τὸ ἀγαπᾷν τοὺς τεκόντας ἢ θρεψαμένους ἕτερος
nor the to-love the(-ones) having-borne or having-reared another
ἐδίδαξεν. Οὕτως οὖν, ἢ καὶ πολὺ μᾶλλον τοῦ θείου πόθου
taught thus then or also much more of-the divine longing
οὐκ ἔξωθέν ἐστιν ἡ μάθησις· ἀλλ' ὁμοῦ τῇ συστάσει
not from-outside is the learning but together with-the constitution
τοῦ ζώου τοῦ ἀνθρώπου φημὶ, σπερματικός τις λόγος
of-the living-being the man I-mean seminal a-certain principle

ἡμῖν ἐγκαταβέβληται, οἴκοθεν ἔχων τὰς ἀφορμὰς τῆς
in-us has-been-implanted from-within having the beginnings of-the
πρὸς τὸ ἀγαπᾷν οἰκειώσεως. Ὅνπερ τὸ διδασκαλεῖον τῶν
toward the to-love affinity which the school of-the
ἐντολῶν τοῦ Θεοῦ παραλαβὸν, γεωργεῖν μετ' ἐπιμελείας,
commandments — of-God having-received to-cultivate with care
καὶ ἐκτρέφειν μετ' ἐπιστήμης, καὶ εἰς τελείωσιν ἄγειν Θεοῦ
and to-nurture with skill and to perfection to-bring of-God
χάριτι πέφυκεν. Διὸ καὶ ἡμεῖς, τὴν σπουδὴν ὑμῶν ὡς
by-grace is-wont wherefore also we the zeal your as
ἀναγκαίαν τῷ σκοπῷ ἀποδεξάμενοι, Θεοῦ διδόντος, καὶ
necessary to-the aim having-accepted God granting and
ὑμῶν ἐν ταῖς προσευχαῖς συναντιλαμβανομένων ἡμῖν, τὸν
you in the prayers helping-together us the
ἐγκεκρυμμένον ὑμῖν σπινθῆρα τοῦ θείου πόθου κατὰ τὴν
hidden in-you spark of-the divine longing according-to the
ἐνδεδομένην ἡμῖν διὰ τοῦ Πνεύματος δύναμιν διεγεῖραι
given to-us through the Spirit power to-rouse
σπουδάσομεν. Εἰδέναι μέντοι χρὴ, ὅτι τοῦτο ἓν μὲν
we-will-be-eager to-know however (it)-is-needful that this one indeed
ἔστι τὸ κατόρθωμα· δυνάμει δὲ πάσης ἐνεργητικὸν καὶ
is the achievement in-power but of-every effective and
περιεκτικόν ἐστιν ἐντολῆς. Ὁ γὰρ ἀγαπῶν με, φησὶν
comprehensive is commandment the(-one) for loving me says
ὁ Κύριος, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσει· καὶ πάλιν,
the Lord the commandments the my will-keep and again
ὅτι Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ
that in these the two commandments whole the law and the
προφῆται κρέμανται. Καὶ οὐχὶ νῦν δι' ἀκριβείας ἐφοδεύειν
prophets hang and not now with exactness to-go-over
τὸν λόγον ἐπιχειρήσομεν (οὕτω γὰρ ἂν λάθοιμεν πάντα
the subject will-we-attempt thus for — we-would-unawares all

τὸν περὶ ἐντολῶν λόγον ἐπικυκλοῦντες τῷ μέρει), ἀλλ᾽
the about commandments discourse bringing-round to-the part but
ὅσον σύμμετρον ἡμῖν καὶ οἰκεῖον τῷ παρόντι σκοπῷ,
as-much-as (is)-proportionate for-us and proper to-the present aim
ὑπομνήσομεν ὑμᾶς περὶ τῆς ὀφειλομένης τῷ Θεῷ παρ᾽ ἡμῶν
we-will-remind you about the owed — to-God from us
ἀγάπης, ἐκεῖνο πρότερον εἰπόντες, ὅτι πασῶν τῶν δοθεισῶν
love that first having-said that of-all the given
ἡμῖν ἐντολῶν παρὰ Θεοῦ, τούτων καὶ τὰς δυνάμεις παρ᾽
to-us commandments by God of-these also the powers from
αὐτοῦ προειλήφαμεν, ἵνα μήτε δυσχεραίνωμεν, ὥς τι
him we-have-received-beforehand that neither we-may-be-vexed as something
καινότερον ἀπαιτούμενοι, μήτε ἐπαιρώμεθα, ὡς πλέον τι
newer being-asked nor be-elated as more something
τοῦ δεδομένου συνεισφερόμενοι. Καὶ διὰ τούτων τῶν
than-the(-thing) given contributing and through these the
δυνάμεων, ὀρθῶς μὲν καὶ προσηκόντως ἐνεργοῦντες, τὸν
powers rightly indeed and fittingly working the
κατ᾽ ἀρετὴν εὐσεβῶς συμπληροῦμεν βίον· παραφθείροντες
according-to virtue piously we-complete life corrupting
δὲ αὐτῶν τὴν ἐνέργειαν, πρὸς τὴν κακίαν ὑποφερόμεθα.
but their the working toward the wickedness we-are-borne-down
Καὶ ἔστιν οὗτος κακίας ὅρος, ἡ πονηρὰ, καὶ παρ᾽
and is this of-wickedness (the)-definition the evil and contrary-to
ἐντολὴν τοῦ Κυρίου χρῆσις τῶν ἐπ᾽ ἀγαθῷ παρὰ
(the)-commandment of-the Lord use of-the(-things) for good by
τοῦ Θεοῦ δεδομένων ἡμῖν· ὥσπερ οὖν, τῆς παρὰ Θεοῦ
— God given to-us as then of-the by God
ἐπιζητουμένης ἀρετῆς, ἡ ἐξ ἀγαθοῦ τοῦ συνειδότος
sought virtue (is)-the from good the conscience
κατ᾽ ἐντολὴν τοῦ Κυρίου χρῆσις αὐτῶν.
according-to (the)-commandment of-the Lord use of-them

Τούτου δὲ οὕτως ἔχοντος, τὸ αὐτὸ καὶ περὶ τῆς ἀγάπης
this and thus being the same also about the love
ἐροῦμεν. Ἐντολὴν τοίνυν λαβόντες ἀγαπᾷν τὸν Θεὸν,
we-shall-say (a)-commandment therefore having-received to-love — God
τὴν ἀγαπητικὴν δύναμιν εὐθὺς τῇ πρώτῃ κατασκευῇ
the loving power at-once at-the first constitution
συγκαταβληθεῖσαν κεκτήμεθα· καὶ ἡ ἀπόδειξις οὐκ
laid-down-together we-possess and the proof (is)-not
ἔξωθεν, ἀλλ᾽ αὐτὸς ἄν τις τοῦτο παρ᾽ ἑαυτοῦ καὶ ἐν
from-outside but himself — anyone this from himself and in
ἑαυτῷ καταμάθοι. Τῶν τε γὰρ καλῶν ἐσμεν ἐπιθυμητικοὶ
himself might-learn of-the both for fine(-things) we-are desirous
φυσικῶς, εἰ καὶ ὅτι μάλιστα ἄλλῳ ἄλλο φαίνεται
naturally if even as much-as-possible to-another another appears
καλόν· καὶ στοργὴν πρὸς τὸ οἰκεῖον καὶ συγγενὲς ἔχομεν
fine and affection toward the own and kindred we-have
ἀδιδάκτως, καὶ τοῖς εὐεργέταις ἑκουσίως πᾶσαν εὔνοιαν
untaught and to-the benefactors willingly all goodwill
ἐκπληροῦμεν. Τί οὖν κάλλους θείου θαυμασιώτερον; Τίς
we-fulfill what then than-beauty divine more-marvelous what
ἔννοια τῆς τοῦ Θεοῦ μεγαλοπρεπείας χαριεστέρα; Ποῖος
thought than-the — of-God magnificence more-gracious what
πόθος ψυχῆς οὕτω δριμὺς καὶ ἀφόρητος, ὡς ὁ ἀπὸ
longing of-soul so keen and unbearable as the(-one) from
Θεοῦ ἐγγινόμενος τῇ ἀπὸ πάσης κακίας κεκαθαρμένῃ
God arising in-the from all wickedness cleansed
ψυχῇ, καὶ ἀπὸ ἀληθινῆς διαθέσεως λεγούσῃ, ὅτι Τετρωμένη
soul and from true disposition saying that wounded
ἀγάπης ἐγώ εἰμι; Ἄῤῥητοι παντελῶς καὶ ἀνεκδιήγητοι
of-love I am unspeakable altogether and indescribable
τοῦ θείου κάλλους αἱ ἀστραπαί· οὐ παρίστησι λόγος,
of-the divine beauty the lightnings not presents(-them) word

οὐ δέχεται ἀκοή. Κἂν ἑωσφόρου αὐγὰς εἴπῃς, κἂν
not receives(-them) hearing even-if of-(the)-morning-star (the)-rays you-say even-if
σελήνης λαμπρότητα, κἂν ἡλίου φῶς, πάντα ἄτιμα
of-(the)-moon (the)-brightness even-if of-(the)-sun (the)-light all(-things) (are)-worthless
πρὸς εἰκασίαν τῆς δόξης, καὶ πλέον ἀπολειπόμενα πρὸς
toward likeness of-the glory and more falling-short toward
τὴν τοῦ ἀληθινοῦ φωτὸς σύγκρισιν, ἢ καθόσον βαθεῖα νὺξ,
the of-the true light comparison than as-much-as deep night
καὶ στυγνὴ σκοτομήνη μεσημβρίας καθαρωτάτης. Τοῦτο
and gloomy moonless-darkness of-midday most-clear this
τὸ κάλλος σαρκίνοις μὲν ὀφθαλμοῖς ἀθεώρητον, ψυχῇ δὲ
the beauty to-fleshly indeed eyes (is)-invisible to-soul but
μόνῃ καὶ διανοίᾳ καταληπτὸν, εἴπου τινα περιέλαμψε
alone and mind comprehensible if-anywhere some(-one) it-shone-around
τῶν ἁγίων, καὶ ἀφόρητον τοῦ πόθου τὸ κέντρον αὐτοῖς
of-the saints and unbearable of-the longing the goad in-them
ἐγκατέλιπεν, οἳ ἀλύοντες πρὸς τὴν ἐνταῦθα ζωὴν ἔλεγον·
it-left who being-distraught toward the here life said
Οἴ μοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη. Πότε ἥξω
woe-is me that the sojourning my has-been-prolonged when shall-I-come
καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; καὶ τὸ,
and appear to-the face — of-God and the(-word)
Ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖσσον·
to-depart and with Christ to-be by-much rather better
καὶ τὸ, Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν
and the(-word) thirsted the soul my for — God the
ἰσχυρὸν τὸν ζῶντα· καὶ, Νῦν ἀπολύεις τὸν δοῦλόν σου,
mighty the(-one) living and now you-release the servant your
Δέσποτα. Ὡς δεσμωτήριον τὴν ζωὴν ταύτην βαρυνόμενοι,
Master as (a)-prison the life this being-burdened-by
οὕτω δυσκάθεκτοι ἦσαν ταῖς ὁρμαῖς, ὧν ὁ θεῖος
so hard-to-restrain were-they in-the impulses whose the divine

πόθος τῶν ψυχῶν ἥψατο. Οἵ γε, διὰ τὸ ἀκορέστως
longing the souls touched who at-least because-of the insatiably
ἔχειν τῆς θεωρίας τοῦ θείου κάλλους, εὐχὴν ἐποιοῦντο
to-have of-the contemplation of-the divine beauty (a)-prayer made
πάσῃ τῇ αἰωνίᾳ ζωῇ συμπαρεκτείνεσθαι τὴν θεωρίαν
in-all the eternal life to-be-extended-with the contemplation
τῆς τερπνότητος τοῦ Κυρίου. Οὕτω μὲν οὖν φυσικῶς
of-the delight of-the Lord thus indeed then naturally
ἐπιθυμητικοὶ τῶν καλῶν οἱ ἄνθρωποι. Κυρίως δὲ
desirous of-the fine(-things) (are)-the men properly and
καλὸν καὶ ἀγαπητὸν τὸ ἀγαθόν. Ἀγαθὸς δὲ ὁ Θεός·
fine and lovable (is)-the good good and (is)-the God
ἀγαθοῦ δὲ πάντα ἐφίεται· Θεοῦ ἄρα πάντα ἐφίεται.
at-good and all(-things) aim at-God then all(-things) aim
2 Ὥστε τὸ ἐκ προαιρέσεως κατορθούμενον καὶ φυσικῶς
so-that the(-thing) by choice achieved also naturally
ἡμῖν ἐνυπάρχει, τοῖς γε μὴ ἐκ πονηρίας τοὺς
in-us is-present in-the(-ones) at-least not from wickedness the
λογισμοὺς διαστραφεῖσιν. Ἀναγκαῖον οὖν ὄφλημα τὴν εἰς
reasonings perverted (a)-necessary then debt the toward
Θεὸν ἀγάπην ἀπαιτούμεθα, ὃ τῇ ἐλλειπούσῃ ψυχῇ
God love we-are-asked which to-the lacking soul
πάντων κακῶν ἐστιν ἀφορητότατον. Θεοῦ γὰρ ἀλλοτρίωσις
of-all evils is most-unbearable from-God for estrangement
καὶ ἀποστροφὴ καὶ τῶν ἐν γεέννῃ προσδοκωμένων
and turning-away also than-the in Gehenna expected
κολάσεων ἀφορητότερόν ἐστι, καὶ βαρύτερον τῷ
punishments more-unbearable is and heavier to-the(-one)
παθόντι, ὡς ὀφθαλμῷ φωτὸς στέρησις, κἂν μὴ ὀδύνη
having-suffered(-it) as to-(the)-eye of-light deprivation even-if not pain
προσῇ, καὶ τῷ ζώῳ τοῦ ζῆν. Εἰ δὲ καὶ τοῖς
be-added and to-the living-being of-the to-live if and also to-the(-ones)

γεννήσασι φυσικὴ στοργὴ παρὰ τῶν γεννηθέντων
having-begotten natural affection from the(-ones) begotten
ὑπάρχει, καὶ δηλοῖ τοῦτό τε ἡ τῶν ἀλόγων
exists and makes-clear this both the of-the irrational(-creatures)
σχέσις, καὶ ἡ τῶν ἀνθρώπων παρὰ τὴν πρώτην ἡλικίαν
bond and the of-the men in the first age
πρὸς τὰς μητέρας διάθεσις, μὴ φανῶμεν ἀλογώτεροι
toward the mothers disposition let-us-not appear more-irrational
τῶν νηπίων, μηδὲ τῶν θηρίων ἀγριώτεροι, ἀστόργως
than-the infants nor than-the beasts wilder without-affection
καὶ ἀλλοτρίως πρὸς τὸν ποιήσαντα ἡμᾶς διακείμενοι· ὃν
and estranged toward the(-one) having-made us being-disposed whom
εἰ καὶ μὴ ἐκ τῆς ἀγαθότητος ὁποῖός ἐστιν ἠπιστάμεθα,
if even not from the goodness what-sort he-is we-knew
ἐξ αὐτοῦ μόνου τοῦ παρ᾽ αὐτοῦ γεγενῆσθαι ἀγαπᾷν
from the-very alone the by him to-have-been-made to-love
καὶ στέργειν ὑπερβαλλόντως ὀφείλομεν, καὶ ἀποκρέμασθαι
and to-cherish exceedingly we-ought and to-hang-on
τῆς μνήμης αὐτοῦ διηνεκῶς, καθάπερ τῶν μητέρων τὰ
the memory his continually as of-the mothers the
νήπια. Κρείττων δὲ τῶν φυσικῶς ἀγαπωμένων ὁ
infants better and than-the(-ones) naturally loved (is)-the
εὐεργέτης. Καὶ τοῦτο οὐκ ἀνθρώπων ἴδιόν ἐστι μόνον,
benefactor and this not of-men proper is only
ἀλλὰ καὶ πάντων σχεδὸν ζώων πάθος, ἡ πρὸς τοὺς
but also of-all nearly living-beings (a)-feeling the toward the(-ones)
ἀγαθόν τι δεδωκότας οἰκείωσις. Ἔγνω, φησὶ, βοῦς
good something having-given affinity knew he-says (the)-ox
τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου
the(-one) having-acquired(-him) and (the)-donkey the manger of-the lord
αὐτοῦ. Ἀπείη δὲ λεχθῆναι περὶ ἡμῶν τὰ ἑξῆς·
his may-it-be-far and to-be-said about us the(-things) following

ὅτι Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκε.
that Israel but me not knew and the people me not understood
Περὶ γὰρ κυνὸς, καὶ πολλῶν ἄλλων τοιούτων, τί χρὴ
about for (the)-dog and many others such what (is)-needful
καὶ λέγειν, ὅσην πρὸς τοὺς τρέφοντας τὴν εὔνοιαν
even to-say how-much toward the(-ones) feeding(-them) the goodwill
ἐπιδείκνυνται; Εἰ δὲ τὴν πρὸς τοὺς εὐεργέτας εὔνοιαν
they-show if and the toward the benefactors goodwill
καὶ τὸ φίλτρον φυσικῶς αἱρούμεθα, καὶ πάντα πόνον εἰς
and the affection naturally we-choose and every toil for
ἀντίδοσιν τῶν προγενομένων ἡμῖν ὑπομένομεν, τίς
repayment of-the(-things) having-befallen us we-endure what
λόγος ἀξίως ἐφικέσθαι τῶν δωρεῶν τοῦ Θεοῦ δύναται; αἵ
word worthily to-reach the gifts — of-God is-able which
τοσαῦται μέν εἰσι τὸ πλῆθος, ὡς καὶ ἀριθμὸν διαφεύγειν·
so-many indeed are the multitude so-as even number to-escape
τηλικαῦται δὲ τὸ μέγεθος καὶ τοιαῦται, ὥστε ἐξαρκεῖν
so-great and the greatness and such that to-suffice
καὶ μίαν εἰς τὸ ὑπευθύνους ἡμᾶς εἰς πᾶσαν χάριν τῷ
even one for the liable us for every gratitude to-the(-one)
δεδωκότι ποιῆσαι. Τὰς μὲν οὖν ἄλλας παρήσω, αἵ,
having-given to-make the indeed then others I-will-pass-over which
εἰ καὶ καθ' ἑαυτὰς ὑπερβάλλουσι μεγέθει καὶ χάριτι,
if even by themselves exceed in-greatness and grace
ἀλλ' ὑπὸ τῶν μειζόνων, ὥσπερ ἀστέρες ἡλιακαῖς ἀκτῖσιν,
yet by the greater as stars by-solar rays
ὑπερλαμπόμεναι, τὴν καθ' ἑαυτὰς χάριν ἀμυδροτέραν
outshone the by themselves grace dimmer
παρέχονται. Οὐ γὰρ σχολὴ καταλιπόντι τὰ ὑπερβάλλοντα,
provide not for (is)-leisure to-(one)-having-left the surpassing(-things)
ἐκ τῶν ἐλαττόνων μετρεῖν τοῦ εὐεργέτου τὴν ἀγαθότητα.
from the lesser to-measure of-the benefactor the goodness

Σιωπάσθωσαν τοίνυν ἡλίου ἀνατολαὶ, καὶ σελήνης 3
let-be-silenced therefore of-(the)-sun risings and of-(the)-moon
περίοδοι, κράσεις ἀέρων, ὡρῶν ἐναλλαγαὶ, ὕδωρ ἀπὸ
circuits blendings of-airs of-seasons changes water from
νεφῶν, καὶ ἀπὸ γῆς ἕτερον, αὐτὴ ἡ θάλασσα, ἡ γῆ
clouds and from earth other itself the sea the earth
σύμπασα, τὰ ἐκ γῆς φυόμενα, τὰ ἐν τοῖς ὕδασι
whole the(-things) from earth growing the(-things) in the waters
διαιτώμενα, τὰ ἐν ἀέρι γένη, αἱ μυρίαι τῶν ζώων
living the in air races the countless of-the living-beings
διαφοραὶ, πάντα τὰ πρὸς ὑπηρεσίαν τῆς ζωῆς ἡμῶν
differences all the(-things) for service of-the life our
τεταγμένα. Ἀλλ' ἐκεῖνο οὐδὲ βουλομένοις παρελθεῖν
ordered but that not-even for-(those)-wishing to-pass-over
δυνατὸν, καὶ σιωπῆσαι μὲν τὴν χάριν τῷ γε
(is)-possible and to-keep-silent indeed (about)-the grace for-the(-one) at-least
νοῦν ὑγιᾶ καὶ λόγον ἔχοντι παντελῶς ἀμήχανον· εἰπεῖν δέ
(a)-mind sound and reason having (is)-altogether impossible to-speak but
τι πρὸς ἀξίαν πλέον ἀδυνατώτερον, ὅτι κατ' εἰκόνα
anything toward worth (is)-even more-impossible that according-to (the)-image
Θεοῦ καὶ ὁμοίωσιν ποιήσας τὸν ἄνθρωπον ὁ Θεὸς, καὶ τῆς
of-God and likeness having-made the man — God and of-the
ἑαυτοῦ γνώσεως ἀξιώσας, καὶ λόγῳ παρὰ πάντα τὰ
his-own knowledge having-deemed-worthy and with-reason beyond all the
ζῶα κατακοσμήσας, καὶ τοῖς ἀμηχάνοις τοῦ παραδείσου
living-beings having-adorned and in-the inconceivable of-the paradise
κάλλεσιν ἐντρυφᾷν παρασχόμενος, καὶ τῶν ἐπὶ γῆς
beauties to-delight having-granted and of-the(-things) on earth
ἁπάντων ἄρχοντα καταστήσας, εἶτα κατασοφισθέντα ὑπὸ
all ruler having-set then outwitted by
τοῦ ὄφεως, καὶ καταπεσόντα εἰς τὴν ἁμαρτίαν, καὶ διὰ
the serpent and having-fallen into the sin and through

τῆς ἁμαρτίας εἰς τὸν θάνατον, καὶ τὰ τούτου ἄξια, οὐ
the sin into the death and the(-things) of-this worthy not
περιεῖδεν· ἀλλὰ τὰ μὲν πρῶτα νόμον ἔδωκεν εἰς
he-overlooked(-him) but the(-things) indeed first (a)-law he-gave for
βοήθειαν, ἀγγέλους ἐπέστησεν εἰς φυλακὴν καὶ ἐπιμέλειαν,
help angels he-set-over for guarding and care
προφήτας ἀπέστειλεν εἰς ἔλεγχον κακίας καὶ διδασκαλίαν
prophets he-sent for refutation of-wickedness and teaching
ἀρετῆς, τὰς ὁρμὰς τῆς κακίας ταῖς ἀπειλαῖς ἐνέκοψε, τῶν
of-virtue the impulses of-the wickedness with-the threats he-checked of-the
ἀγαθῶν τὴν προθυμίαν ἐπαγγελίαις διήγειρε, τὸ πέρας
good(-things) the eagerness with-promises he-roused the end
ἑκατέρου πολλάκις ἐν διαφόροις προσώποις εἰς νουθεσίαν
of-each often in various persons for admonition
τῶν ἄλλων προλαβὼν ἐφανέρωσε, καὶ ἐπὶ τούτοις καὶ
of-the others beforehand he-made-manifest and at these and
τοῖς τοιούτοις ἅπασιν ἐπιμένοντας τῇ ἀπειθείᾳ οὐκ
the such(-things) all remaining in-the disobedience not
ἀπεστράφη. Οὐ γὰρ ἀφείθημεν ὑπὸ τῆς ἀγαθότητος τοῦ
he-turned-away not for were-we-abandoned by the goodness of-the
Δεσπότου, οὐδὲ ἐνεκόψαμεν αὐτοῦ τὴν εἰς ἡμᾶς ἀγάπην,
Master nor did-we-cut-off his the toward us love
ἀναισθησίᾳ τῶν τιμῶν τὸν εὐεργέτην παρυβρίσαντες· ἀλλὰ
by-insensibility to-the honors the benefactor having-outraged but
ἀνεκλήθημεν ἐκ τοῦ θανάτου, καὶ ἐζωοποιήθημεν πάλιν
we-were-recalled from the death and were-made-alive again
ὑπ᾽ αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐν ᾧ καὶ
by himself the Lord our Jesus Christ in whom also
ὁ τρόπος τῆς εὐεργεσίας μεῖζον ἔχει τὸ θαῦμα· Ἐν μορφῇ
the manner of-the benefaction greater has the wonder in (the)-form

γὰρ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα
for of-God being not robbery thought the to-be equal
Θεῷ, ἀλλ᾽ ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών.
to-God but himself emptied (the)-form of-(a)-servant having-taken
Καὶ τὰς ἀσθενείας ἡμῶν ἀνέλαβε, καὶ τὰς νόσους 4
and the weaknesses our he-took-up and the diseases
ἐβάστασε, καὶ ὑπὲρ ἡμῶν ἐτραυματίσθη, ἵνα τῷ μώλωπι
bore and for us was-wounded that by-the bruise
αὐτοῦ ἡμεῖς ἰαθῶμεν· καὶ τῆς κατάρας ἡμᾶς ἐξηγόρασε,
his we may-be-healed and from-the curse us redeemed
γενόμενος ὑπὲρ ἡμῶν κατάρα, καὶ τὸν ἀτιμότατον ὑπέστη
having-become for us (a)-curse and the most-dishonored endured
θάνατον, ἵνα ἡμᾶς εἰς τὴν ἔνδοξον ζωὴν ἐπαναγάγῃ. Καὶ
death that us into the glorious life he-might-bring-back and
οὐκ ἠρκέσθη μόνον νεκροὺς ὄντας ζωοποιῆσαι, ἀλλὰ καὶ
not he-was-content only dead being to-make-alive but also
θεότητος ἀξίωμα ἐχαρίσατο, καὶ ἀναπαύσεις ἡτοίμασεν
of-divinity (the)-dignity he-granted and rests prepared
αἰωνίους, πᾶσαν ἔννοιαν ἀνθρωπίνην τῷ μεγέθει τῆς
eternal all thought human by-the greatness of-the
εὐφροσύνης ὑπερβαινούσας. Τί οὖν ἀνταποδῶμεν τῷ
joy surpassing what then shall-we-repay to-the
Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν; Ὁ δὲ οὕτως
Lord for all which he-repaid to-us he and so
ἐστὶν ἀγαθὸς, ὥστε οὔτε ἀντίδοσιν ἀπαιτεῖ, ἀλλ᾽ ἀρκεῖται
is good that neither repayment he-demands but is-content
μόνον ἀγαπώμενος ἐφ᾽ οἷς ἔδωκεν. Ὧν ἁπάντων ὅταν εἰς
only being-loved for what he-gave of-which all when into
ἔννοιαν ἔλθω (ἵνα τὸ ἐμὸν πάθος ἐξείπω), εἰς φρίκην τινὰ
thought I-come that the my feeling I-may-speak-out into dread some
καὶ ἔκστασιν φοβερὰν καταπίπτω, μήποτε ἐξ ἀπροσεξίας
and ecstasy fearful I-fall lest from inattention

τοῦ νοῦ, ἢ τῆς περὶ τὰ μάταια ἀσχολίας, τῆς ἀγάπης
of-the mind or of-the about the vain(-things) occupation from-the love
τοῦ Θεοῦ ἐκπεσὼν ὄνειδος γένωμαι τῷ Χριστῷ. Ὁ γὰρ
— of-God having-fallen (a)-reproach I-become — to-Christ the(-one) for
νῦν ἀπατῶν ἡμᾶς, καὶ διὰ τῶν κοσμικῶν δελεασμάτων
now deceiving us and through the worldly baits
λήθην ἐμποιεῖν ἡμῖν τοῦ εὐεργέτου μηχανῇ πάσῃ
forgetfulness to-produce in-us of-the benefactor by-device every
σπουδάζων, ἐπ᾽ ὀλέθρῳ τῶν ψυχῶν ἡμῶν ἐναλλόμενος
eager for (the)-destruction of-the souls our leaping-on
ἡμῖν, καὶ ἐπεμβαίνων, εἰς ὀνειδισμὸν τότε προσοίσει τῷ
us and trampling for reproach then will-bring to-the
Κυρίῳ τὴν ἡμετέραν καταφρόνησιν, καὶ ἐγκαυχήσεται τῇ
Lord the our contempt and will-boast in-the
ἀπειθείᾳ καὶ ἀποστασίᾳ ἡμῶν· ὅς γε οὔτε κτίσας
disobedience and apostasy our who at-least neither having-created
ἡμᾶς, οὔτε ἀποθανὼν ὑπὲρ ἡμῶν, ἀλλ᾽ ὅμως ἔσχεν ἡμᾶς
us nor having-died for us but nevertheless had us
ἀκολουθοῦντας αὐτῷ ἐν τῇ ἀπειθείᾳ καὶ ἐν τῇ ἀμελείᾳ τῶν
following him in the disobedience and in the neglect of-the
ἐντολῶν τοῦ Θεοῦ. Τοῦτο τὸ ὄνειδος, τὸ κατὰ τοῦ
already some of-the children suited being appear
πρὸς τὴν μάθησιν, τὸ μὲν συνδιημερεύειν αὐτοὺς τοῖς
for the learning the indeed to-spend-the-day-with them the

διδασκάλοις τῆς τέχνης οὐκ ἀπαγορεύομεν· νύκτωρ δὲ
teachers of-the craft not we-forbid by-night but
ἀναγκαίως πρὸς τοὺς ὁμήλικας μεθιστῶμεν, μεθ' ὧν καὶ
necessarily to the age-mates we-move with whom also
τῆς τροφῆς αὐτοῖς ἀναγκαῖον μεταλαμβάνειν.
the food for-them (it-is)-necessary to-partake

Εἰ ἀναγκαῖον τῷ μέλλοντι εὐσεβῶς ζῆν τὸ ἐγκρατεύεσθαι

XVI · SELF-CONTROL

Self-control is necessary: the Apostle counts it among the fruits of the Spirit and the marks of a blameless ministry, every contestant exercises it in all things, and it bridles the seething of youth. Incontinence is a mark of the last days; Esau sold his birthright for one meal, and the first disobedience came through it, while Moses, Elijah, Daniel, and the three youths were attested in it, and John and the Lord himself began from it. It is not total abstinence from food but abstinence from every harmful pleasure, glory, wealth, and anger included, since the commandments hold together as in a chorus.

1 Ὅτι μὲν ἀναγκαῖος ὁ τῆς ἐγκρατείας λόγος, δῆλον·
that indeed necessary (is)-the of-the self-control principle (is)-plain
πρῶτον μὲν ἐκ τοῦ τὸν Ἀπόστολον ἐν τοῖς καρποῖς
first indeed from the the Apostle among the fruits
τοῦ Πνεύματος τὴν ἐγκράτειαν ἀριθμῆσαι, ἔπειτα δὲ ἐκ
of-the Spirit the self-control to-have-numbered then and from
τοῦ τὸ ἄμωμον τῆς διακονίας καὶ ἐκ ταύτης εἰπεῖν
the the blamelessness of-the ministry also from this to-have-said
κατορθοῦσθαι, ἐν οἷς φησιν· Ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν
to-be-achieved in which he-says in labors in watchings in
νηστείαις, ἐν ἁγνότητι· καὶ ἑτέρωθι· Ἐν κόπῳ καὶ μόχθῳ,
fastings in purity and elsewhere in labor and toil

ἐν ἀγρυπνίαις πολλάκις· ἐν λιμῷ καὶ δίψει· ἐν νηστείαις
in watchings often in hunger and thirst in fastings
πολλάκις· καὶ πάλιν· Πᾶς δὲ ὁ ἀγωνιζόμενος
often and again every(-one) and the(-one) contending
πάντα ἐγκρατεύεται. Καὶ ὁ ὑπωπιασμὸς δὲ τοῦ
in-all(-things) exercises-self-control and the buffeting too of-the
σώματος, καὶ ἡ δουλαγωγία, ὑπ᾽ οὐδενὸς ἄλλου τοσοῦτον,
body and the enslavement by nothing other so-much
ὡς ὑπὸ τῆς ἐγκρατείας κατορθοῦται. Τὸ γὰρ βράζον τῆς
as by the self-control is-achieved the for seething of-the
νεότητος, καὶ πρὸς τὰς ὁρμὰς δυσκάθεκτον, οἷον χαλινῷ
youth and toward the impulses hard-to-restrain as by-bridle
τινι τῇ ἐγκρατείᾳ καθείργεται. Οὐ γὰρ συμφέρει ἄφρονι
some by-the self-control is-shut-in not for is-profitable (a)-fool
τρυφὴ, κατὰ τὸν Σολομῶντα. Τί δὲ σαρκὸς εὐπαθούσης
luxury according-to — Solomon what and than-flesh living-well
καὶ νεότητος περιφερομένης ἀφρονέστερον; Διό φησιν
and youth being-carried-about more-foolish wherefore says
ὁ Ἀπόστολος· Καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς
the Apostle and of-the flesh provision not make for
ἐπιθυμίας· καὶ, Ἡ σπαταλῶσα, ζῶσα τέθνηκεν. Καὶ
desires and the(-woman) living-in-pleasure living is-dead and
τὸ ὑπόδειγμα δὲ τῆς τοῦ πλουσίου τρυφῆς ἀναγκαίαν ἡμῖν
the example too of-the of-the rich-man luxury necessary for-us
τὴν ἐγκράτειαν παρίστησι, μήποτε ἀκούσωμεν ὃ ἤκουσεν
the self-control presents lest-ever we-hear what heard
ὁ πλούσιος, ὅτι Ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου.
the rich-man that you-received the good(-things) your in the life your
Ὅπως δὲ φοβερὸν ἡ ἀκρασία, καὶ ὁ Ἀπόστολος 2
how and fearful (is)-the incontinence also the Apostle
ἔδειξεν, ἐν τοῖς ἰδιώμασι τῆς ἀποστασίας καταριθμήσας
showed in the marks of-the apostasy having-numbered

αὐτὴν, καὶ εἰπών· Ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται
it and having-said in last days will-set-in
καιροὶ χαλεποί. Ἔσονται γὰρ ἄνθρωποι φίλαυτοι. Καὶ
times grievous will-be for men self-loving and
πλείονα ἀπαριθμησάμενος τῆς κακίας εἴδη, ἐπήγαγε·
more having-enumerated of-the wickedness kinds he-added
Διάβολοι, ἀκρατεῖς. Καὶ ὁ Ἡσαῦ δὲ τὸ μέγιστον τῶν
slanderers incontinent and — Esau too (of)-the greatest of-the
κακῶν τὴν ἀκρασίαν κατηγορήθη, ὡς ἀντὶ βρώσεως μιᾶς
evils the incontinence was-accused as for food one
ἀποδόμενος τὰ πρωτοτόκια. Καὶ ἡ πρώτη παρακοὴ δι'
having-sold the birthright and the first disobedience through
ἀκρασίας ἐνέπεσε τῷ ἀνθρώπῳ. Ἐν ἐγκρατείᾳ δὲ οἱ ἅγιοι
incontinence fell-upon the man in self-control and the saints
πάντες ἐμαρτυρήθησαν. Καὶ πᾶσα δὲ ἡ τῶν ἁγίων καὶ
all were-attested and all too the of-the saints and
μακαρίων ζωὴ, καὶ τὸ παρ' αὐτοῦ τοῦ Κυρίου ἐν τῇ
blessed(-ones) life and the from himself the Lord in the
ἐπιδημίᾳ τῇ διὰ σαρκὸς ὑπόδειγμα πρὸς τοῦτο ἡμᾶς
sojourn the through flesh (an)-example toward this us
ὠφελεῖ. Ὁ Μωϋσῆς διὰ τῆς μακρᾶς ἐν νηστείᾳ καὶ
profits — Moses through the long in fasting and
προσευχῇ προσεδρίας τὸν νόμον ἔλαβε, καὶ Θεοῦ λόγων
prayer attendance the law received and of-God words
ἤκουσεν, Ὡς ἂν εἴ τις λαλήσαι, φησὶ, τῷ ἑαυτοῦ φίλῳ.
heard as — if anyone should-speak he-says to-the his-own friend
Ὁ Ἠλίας τότε τῆς ὀπτασίας τοῦ Θεοῦ κατηξιώθη, ὅτε
— Elijah then of-the vision — of-God was-deemed-worthy when
καὶ αὐτὸς ἐν τῷ ἴσῳ μέτρῳ τῆς ἐγκρατείας γέγονε.
also he in the equal measure of-the self-control came-to-be
Τί δὲ ὁ Δανιήλ; Πῶς ἐν τῇ ὀπτασίᾳ τῶν παραδόξων
what and — Daniel how in the vision of-the marvels

ἐγένετο; Οὐ μετὰ τὴν εἰκοστὴν τὴν νηστείας ἡμέραν; Πῶς
did-he-come not after the twentieth the of-fasting day how
δὲ οἱ τρεῖς παῖδες τὴν δύναμιν ἔσβεσαν τοῦ πυρός; Οὐ
and the three youths the power quenched of-the fire not
διὰ τῆς ἐγκρατείας; Καὶ Ἰωάννου δὲ ἡ πᾶσα τοῦ βίου
through the self-control and of-John too the whole of-the life
ἔνστασις ἀπὸ τῆς ἐγκρατείας ὥρμητο. Ἀπὸ ταύτης καὶ
course from the self-control had-started from this also
ὁ Κύριος τῆς φανερώσεως αὐτοῦ ἤρξατο. Ἐγκράτειαν δὲ
the Lord of-the manifestation his began self-control but
λέγομεν οὐ πάντως τὴν παντελῆ ἀποχὴν τῶν βρωμάτων
we-call not wholly the complete abstinence from-the foods
(τοῦτο γὰρ βιαία τίς ἐστι διάλυσις τῆς ζωῆς), ἀλλὰ τὴν
this for (a)-violent some is dissolution of-the life but the
ἐπὶ καθαιρέσει τοῦ φρονήματος τῆς σαρκὸς πρὸς τὸν τῆς
for (the)-destruction of-the mind of-the flesh toward the of-the
εὐσεβείας σκοπὸν ἐπιτετηδευμένην ἀποχὴν τῶν ἡδέων.
piety aim practiced abstinence from-the pleasant(-things)
Καὶ ἁπαξαπλῶς, ὧν αἱ ἀπολαύσεις ἐπιθυμηταὶ τοῖς 3
and in-short of-what the enjoyments (are)-desirable to-the(-ones)
κατὰ πάθος ζῶσι, τούτων ἡμῖν ἡ ἐγκράτεια ἀναγκαία
according-to passion living from-these for-us the self-control (is)-necessary
τοῖς ῥυθμιζομένοις πρὸς τὴν εὐσέβειαν. Οὐ μὴν περὶ τὴν
for-the(-ones) being-ordered toward the piety not indeed about the
ἡδονὴν τῶν βρωμάτων μόνην ἡ τῆς ἐγκρατείας ἄσκησις
pleasure of-the foods alone the of-the self-control exercise
κατορθοῦται, ἀλλὰ διατείνει καὶ ἐπὶ πᾶσαν τοῦ
is-achieved but extends also to all of-the(-thing)
ἐμποδίζοντος ἀποχήν. Ὥστε ὁ ἀκριβῶς ἐγκρατὴς οὐ
hindering abstinence so-that the(-one) exactly self-controlled not
γαστρὸς μὲν κρατήσει, δόξῃ δὲ ἀνθρωπίνῃ ἡττηθήσεται· οὐχ
of-belly indeed will-be-master by-glory but human will-be-worsted not

ἐπιθυμίας μὲν αἰσχρᾶς περιγενήσεται, πλούτου δὲ οὐκέτι,
of-desire indeed shameful will-overcome of-wealth but no-longer
οὐδὲ ἄλλης τινὸς ἀγεννοῦς διαθέσεως, οἷον ὀργῆς, ἢ λύπης,
nor of-other any ignoble disposition such-as anger or grief
ἢ τῶν ὅσα τὰς ἀπαιδεύτους ψυχὰς καταδουλοῦσθαι
or of-the(-things) as-many-as the uneducated souls to-enslave
πέφυκε. Σχεδὸν γὰρ, ὃ ἐπὶ πασῶν θεωροῦμεν τῶν
are-wont nearly for what in all we-behold the
ἐντολῶν, ὅτι ἀλλήλων ἔχονται, καὶ ἀπεσχισμένως ἄλλην
commandments that one-another they-hold and separately one
ἀπ᾽ ἄλλης κατορθοῦσθαι ἀμήχανον, τοῦτο μάλιστα περὶ τὴν
from another to-be-achieved (is)-impossible this especially about the
ἐγκράτειαν θεωρεῖται. Ταπεινόφρων τε γάρ ἐστιν ὁ
self-control is-beheld humble both for is the(-one)
περὶ δόξαν ἐγκρατής· καὶ τῆς ἀκτημοσύνης τὸ εὐαγγελικὸν
about glory self-controlled and of-the poverty the evangelical
ἐκπληροῖ μέτρον ὁ περὶ χρήματα ἐγκρατῶς διακείμενος·
fulfills measure the(-one) about money self-controlledly disposed
καὶ ἀόργητος ὁ θυμοῦ καὶ ὀργῆς ἐπικρατῶν. Καὶ
and without-anger the(-one) of-temper and anger mastering and
γλώσσῃ δὲ μέτρα, καὶ ὀφθαλμοῖς ὅρους, καὶ ὠσὶν ἀπερίεργον
for-tongue too measures and for-eyes limits and for-ears uncurious
ἀκοὴν ὁ ἀκριβὴς τῆς ἐγκρατείας ὁρίζει λόγος· οἷς ὁ
hearing the exact of-the self-control defines principle in-which the(-one)
μὴ ἐμμένων ἀκρατὴς καὶ ἀκόλαστος. Ὁρᾷς πως περὶ μίαν
not abiding (is)-incontinent and licentious you-see how about one
ἐντολὴν ταύτην αἱ πᾶσαι ὡς ἐν χορῷ ἀλλήλων ἔχονται;
commandment this the all as in (a)-chorus one-another hold

Ὅτι δεῖ καὶ γέλωτος ἐγκρατῶς ἔχειν

XVII · LAUGHTER

Unchecked laughter is a sign of incontinence. A cheerful smile is not unseemly, but guffawing is, and the Lord is never recorded laughing; where Scripture praises laughter it means joy. The perfect self-controlled man yields to no harmful pleasure and forgoes even what is permitted for a brother's sake. Self-control destroys sin, whose bait is pleasure; it shows in the Christian's pale face, and the sight of him reforms the glutton.

Καὶ τὸ παρὰ τοῖς πολλοῖς δὲ παρορώμενον οὐ μετρίας 1
and the(-thing) by the many too overlooked not moderate
φυλακῆς τοῖς ἀσκουμένοις ἄξιον. Τὸ γὰρ γέλωτι
vigilance for-the(-ones) practicing (is)-worthy the for by-laughter
ἀκρατεῖ καὶ ἀσχέτῳ κατέχεσθαι, ἀκρασίας σημεῖον, καὶ τοῦ
uncontrolled and unchecked to-be-held of-incontinence (a)-sign and of-the
μὴ κατεσταλμένα ἔχειν τὰ κινήματα, καὶ τοῦ μὴ ἀκριβεῖ
not restrained to-have the movements and of-the not by-exact
λόγῳ τῆς ψυχῆς τὸ χαῦνον καταπιέζεσθαι. Ἄχρι μὲν γὰρ
reason of-the soul the slackness to-be-pressed-down as-far-as indeed for
μειδιάματος φαιδροῦ τὴν διάχυσιν τῆς ψυχῆς ὑποφαίνειν οὐκ
(a)-smile cheerful the expansiveness of-the soul to-show not
ἀπρεπὲς, ὅσον δεῖξαι μόνον τὸ γεγραμμένον· Καρδίας
unseemly as-much-as to-show only the(-word) written of-heart
εὐφραινομένης, πρόσωπον θάλλει· ἐγκαγχάζειν δὲ τῇ
rejoicing (the)-face flourishes to-guffaw but with-the
φωνῇ, καὶ ἀναβράζεσθαι ἀπροαιρέτως τὸ σῶμα, οὐ τοῦ
voice and to-be-shaken involuntarily the body not of-the(-one)
κατεσταλμένου τὴν ψυχὴν, οὐδὲ τοῦ δοκίμου, οὐδὲ τοῦ
restrained-in the soul nor of-the approved nor of-the(-one)
περικρατῶς ἔχοντος ἑαυτοῦ. Τοῦτο εἶδος τοῦ γέλωτος καὶ
firmly-mastering holding himself this kind of-the laughter also

ὁ Ἐκκλησιαστὴς παραιτούμενος, ὡς περιτρέπον μάλιστα
the Ecclesiastes refusing as overturning most
τὸ σταθερὸν τῆς ψυχῆς, φησί· Τῷ γέλωτι εἶπα περιφοράν·
the steadfastness of-the soul says to-the laughter I-said wandering
καί· Ὡς φωνὴ τῶν ἀκανθῶν ὑπὸ τὸν λέβητα, οὕτως
and as (the)-sound of-the thorns under the pot so
ὁ γέλως τῶν ἀφρόνων. Καὶ ὁ Κύριος τὰ μὲν ἀναγκαῖα
the laughter of-the fools and the Lord the indeed necessary
πάθη τῆς σαρκὸς ὑπομείνας φαίνεται, καὶ ὅσα ἀρετῆς
passions of-the flesh having-endured appears and as-many-as of-virtue
μαρτυρίαν φέρει· οἷον κόπον, καὶ τὸν ἐπὶ τοῖς θλιβομένοις
testimony bears such-as toil and the for the afflicted
ἔλεον· γέλωτι δὲ μηδαμοῦ χρησάμενος, ὅσον ἐκ τῆς
pity laughter but nowhere having-used as-far-as from the
τῶν Εὐαγγελίων ἱστορίας, ἀλλὰ καὶ ταλανίζων τοὺς
of-the Gospels story but also calling-wretched the(-ones)
κατεχομένους ὑπ᾽ αὐτοῦ. Μὴ παρακρουέσθω δὲ ἡμᾶς ἡ
held by it not let-deceive and us the
ὁμωνυμία τοῦ γέλωτος. Σύνηθες γὰρ τῇ Γραφῇ πολλάκις
homonymy of-the laughter customary for for-the Scripture often
τὴν χαρὰν τῆς ψυχῆς καὶ τὴν φαιδρὰν ἐπὶ τοῖς ἀγαθοῖς
the joy of-the soul and the cheerful at the good(-things)
διάθεσιν γέλωτα ὀνομάζειν, ὡς ἡ Σάῤῥα φησί· Γέλωτά
disposition laughter to-call as — Sarah says laughter
μοι ἐποίησεν ὁ Θεός· καὶ τὸ, Μακάριοι οἱ
for-me made — God and the(-word) blessed the(-ones)
κλαίοντες νῦν, ὅτι γελάσετε· καὶ τὸ ἐν τῷ Ἰὼβ δὲ
weeping now because you-will-laugh and the(-word) in — Job too
κείμενον· Ἀληθινὸν δὲ στόμα ἐμπλήσει γέλωτος. Ταῦτα γὰρ
lying true and mouth he-will-fill with-laughter these for
πάντα ἀντὶ ἱλαρότητος ἐπὶ τῆς κατὰ ψυχὴν ἀγαλλιάσεως
all instead-of cheerfulness for the in soul exultation

εἴληπται τὰ ὀνόματα. Ὥστε ὁ παντὸς πάθους
have-been-taken the names so-that the(-one) than-every passion
ἀνώτερος, καὶ μηδένα ἐξ ἡδονῆς ἐρεθισμὸν πάσχων, ἢ
higher and no from pleasure provocation suffering or
καὶ προϊέμενος, ἀλλ' ἐγκρατῶς καὶ ἀνενδότως πρὸς πᾶσαν
also yielding but self-controlledly and unremittingly toward every
ἀπόλαυσιν βλαβερὰν διακείμενος, ὁ τέλειός ἐστιν
enjoyment harmful disposed the(-one) perfect is
ἐγκρατής· ὁ δὲ τοιοῦτος δηλονότι καὶ πάσης ἀπήλλακται
self-controlled the and such(-one) clearly also from-all has-been-freed
ἁμαρτίας. Ἔστι δὲ ὅτε καὶ αὐτῶν τῶν συγκεχωρημένων
sin there-is and when also themselves the(-things) permitted
καὶ ἀναγκαίων πρὸς τὸ ζῆν ἀφεκτέον, ὅταν ἐπ'
and necessary for the to-live (are)-to-be-abstained-from when for
ὠφελείᾳ τῶν ἀδελφῶν ἡμῶν ἡ ἀποχὴ οἰκονομῆται. Ὡς ὁ
(the)-benefit of-the brothers our the abstinence is-arranged as the
Ἀπόστολος· Εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, φησὶν,
Apostle if food causes-to-stumble the brother my he-says
οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα. Καὶ ἔχων ἐξουσίαν
not not shall-I-eat meat to the age and having authority
ἐκ τοῦ Εὐαγγελίου ζῆν, οὐκ ἐχρήσατο τῇ ἐξουσίᾳ, ἵνα
from the Gospel to-live not he-used the authority that
μὴ ἐγκοπήν τινα δῷ τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ.
not hindrance any he-might-give to-the Gospel — of-Christ
Ἔστιν οὖν ἡ ἐγκράτεια ἁμαρτίας ἀναίρεσις, παθῶν 2
is then the self-control of-sin (the)-destruction of-passions
ἀπαλλοτρίωσις, σώματος νέκρωσις μέχρι καὶ αὐτῶν τῶν
(the)-estrangement of-body (the)-mortification even-to also themselves the
φυσικῶν παθημάτων τε καὶ ἐπιθυμιῶν, ζωῆς πνευματικῆς
natural sufferings both and desires of-life spiritual
ἀρχὴ, τῶν αἰωνίων ἀγαθῶν πρόξενος, ἐν ἑαυτῇ τὸ
(the)-beginning of-the eternal goods (the)-procurer in itself the

κέντρον τῆς ἡδονῆς ἀφανίζουσα. Ἡδονὴ γάρ ἐστι τὸ μέγα
sting of-the pleasure abolishing pleasure for is the great
τοῦ κακοῦ δέλεαρ, δι' ἣν εὐέμπτωτοι μάλιστα πρὸς
of-the evil bait because-of which liable-to-fall most toward
ἁμαρτίαν ἐσμὲν οἱ ἄνθρωποι· ὑφ' ἧς πᾶσα ψυχὴ ὡς ὑπ'
sin are the men by which every soul as by
ἀγκίστρου πρὸς τὸν θάνατον ἕλκεται. Ὡς ὅ γε
(a)-hook to the death is-dragged so-that the(-one) at-least
μὴ ἐκθηλυνόμενος, μηδὲ κατακαμπτόμενος ὑπ' αὐτῆς, διὰ
not being-made-effeminate nor bent-down by it through
τῆς ἐγκρατείας πᾶσαν φυγὴν ἁμαρτημάτων κατώρθωσεν.
the self-control all flight from-sins has-achieved
Εἰ δὲ τὰ μὲν πλεῖστα ἔφυγεν, ὑφ' ἑνὸς δὲ κρατεῖται,
if but the(-things) indeed most be-fled by one but is-mastered
οὐκ ἐγκρατὴς ὁ τοιοῦτος· ὥσπερ καὶ ὁ ὑφ' ἑνὸς
not self-controlled (is)-the such(-one) as also the(-one) by one
πάθους σωματικοῦ ἐνοχλούμενος οὐχ ὑγιής· καὶ ὑφ' ἑνὸς
passion bodily troubled (is)-not healthy and by one
καὶ τοῦ τυχόντος κυριευόμενος οὐκ ἐλεύθερος. Αἱ μὲν
even the chance(-thing) being-lorded-over (is)-not free the indeed
οὖν λοιπαὶ ἀρεταὶ, ἐν τῷ κρυπτῷ κατορθούμεναι, ὀλιγάκις
then other virtues in the hidden being-achieved seldom
διαφαίνονται τοῖς ἀνθρώποις· ἡ δὲ ἐγκράτεια ἀπ' αὐτῆς
show-through to-the men the but self-control from itself
τῆς συντυχίας γνώριμον ποιεῖ τὸν ἔχοντα. Ὡς γὰρ τὸν
the meeting known makes the(-one) having(-it) as for the
ἀθλητὴν ἡ πολυσαρκία καὶ ἡ εὔχροια χαρακτηρίζει, οὕτω
athlete the fleshiness and the good-color characterizes so
τὸν Χριστιανὸν τὸ κατεσκληκὸς τοῦ σώματος, καὶ ἡ ἐκ
the Christian the dried-up(-state) of-the body and the from
τῆς ἐγκρατείας ἐπανθοῦσα ὠχρία δείκνυσιν, ὅτι ἀθλητὴς
the self-control blooming paleness shows that (an)-athlete

ὄντως ἐστὶ τῶν ἐντολῶν τοῦ Χριστοῦ· ἐν τῇ ἀσθενείᾳ
truly he-is of-the commandments — of-Christ in the weakness
τοῦ σώματος καταπαλαίων ἑαυτοῦ τὸν ἐχθρὸν, καὶ τὸ
of-the body wrestling-down of-himself the enemy and the
δυνατὸν ἐν τοῖς τῆς εὐσεβείας ἄθλοις ἐπιδεικνύμενος,
strength in the of-the piety contests showing
κατὰ τὸ εἰρημένον, ὅτι Ὅταν ἀσθενῶ, τότε δυνατός
according-to the(-word) said that when I-am-weak then strong
εἰμι. Ὅσον τὸ κέρδος, ὀφθῆναι μόνον τὸν ἐγκρατῆ,
I-am how-great the gain to-be-seen only the self-controlled(-man)
μόλις καὶ κατὰ μικρὸν τῶν ἀναγκαίων ἁπτόμενον, καὶ
scarcely and by little the necessities touching and
ὡς λειτουργίαν ἐπαχθῆ ὑποτελοῦντα τῇ φύσει, καὶ
as (a)-service burdensome paying to-the nature and
δυσχεραίνοντα μὲν τῷ καιρῷ τῆς περὶ ταῦτα διατριβῆς,
being-vexed indeed at-the time of-the about these(-things) spending
ταχὺ δὲ τῆς τραπέζης ἀποπηδῶντα πρὸς τὴν τῶν
quickly but from-the table leaping-away toward the of-the
ἔργων σπουδήν. Οἶμαι γὰρ ἂν καὶ τοῦ ἀκολάστου περὶ
works zeal I-think for — even of-the licentious about
γαστέρα μηδένα λόγον τοσοῦτον τῆς ψυχῆς καθάψασθαι,
(the)-belly no word so-much the soul to-touch
καὶ πρὸς μεταβολὴν ἐναγαγεῖν, ὅσον καὶ μόνην τὴν
and to change to-lead as-much-as even alone the
συντυχίαν τοῦ ἐγκρατοῦς. Καὶ τοῦτό ἐστιν, ὡς ἔοικε,
meeting of-the self-controlled(-man) and this is as it-seems
τὸ εἰς δόξαν Θεοῦ ἐσθίειν καὶ πίνειν· ὥστε καὶ
the(-thing) to (the)-glory of-God to-eat and to-drink so-that even
ἐπὶ τῆς τραπέζης λάμπειν τὰ καλὰ ἡμῶν ἔργα πρὸς τὸ
at the table to-shine the good our works for the
δοξασθῆναι τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς.
to-be-glorified the Father our the(-one) in the heavens

Ὅτι δεῖ πάντων τῶν παρατιθεμένων ἡμῖν ἀπογεύεσθαι

XVIII · TASTING ALL FOODS

Self-control is indispensable, but lest they side with those who shun foods God made, the brothers taste each food when occasion arises, to show that every creature of God is good when received with thanksgiving. They keep to what is cheap and needful, avoid excess, and refuse what serves pleasure, so cutting out the pleasure-lover's passion, healing the seared conscience, and freeing themselves from suspicion on either side. Self-control is the mother of health, clears away the cares that choke the word, and puts demons to flight.

Ἀναγκαίως μέντοι κἀκεῖνο προσδιωρίσθω, ὅτι πρὸς τὸν
necessarily however also-that let-be-further-defined that for the
ὑπωπιασμὸν τοῦ σώματος ἀπαραίτητον τοῖς τῆς εὐσεβείας
buffeting of-the body indispensable for-the of-the piety
ἀγωνισταῖς ἡ ἐγκράτεια· Πᾶς γὰρ ὁ ἀγωνιζόμενος,
contestants (is)-the self-control every(-one) for the(-one) contending
πάντα ἐγκρατεύεται. Πρὸς δὲ τὸ μὴ συνεμπίπτειν τοῖς
in-all(-things) exercises-self-control for and the not to-fall-in-with the
ἐχθροῖς τοῦ Θεοῦ τοῖς κεκαυτηριασμένοις τὴν ἰδίαν
enemies — of-God the(-ones) having-been-seared the own
συνείδησιν, καὶ διὰ τοῦτο ἀπεχομένοις βρωμάτων,
conscience and because-of this abstaining from-foods
ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετ᾽ εὐχαριστίας
which — God created for partaking with thanksgiving
τοῖς πιστοῖς, ἅπτεσθαι μὲν ἑκάστου χρὴ, καιροῦ
by-the faithful to-touch indeed each (it)-is-needful occasion
ποτε συνεμπεσόντος, ὅσον ἐνδείκνυσθαι τοῖς
at-some-time having-occurred as-much-as to-show to-the(-ones)
ὁρῶσιν, ὅτι πάντα καθαρὰ τοῖς καθαροῖς καὶ ὅτι πᾶν
seeing that all(-things) clean to-the clean and that every
κτίσμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον μετ᾽ εὐχαριστίας
creature of-God (is)-good and nothing to-be-rejected with thanksgiving

λαμβανόμενον· Ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ, καὶ
received it-is-sanctified for through (the)-word of-God and
ἐντεύξεως· φυλάσσειν δὲ καὶ οὕτω τὸν τῆς ἐγκρατείας
prayer to-keep and also thus the of-the self-control
σκοπόν· τοῖς μὲν εὐτελεστέροις καὶ ἀναγκαίοις πρὸς τὸ
aim with-the indeed cheaper and necessary for the
ζῆν μέχρι τῆς χρείας προσδιατρίβοντα, καὶ ἐν τούτοις τοῦ
to-live up-to the need lingering and in these of-the
κόρου τὸ βλαβερὸν ἐκκλίνοντα, τῶν δὲ πρὸς ἡδονὴν
satiety the harm avoiding from-the(-things) but for pleasure
καθόλου ἀπεχόμενον. Οὕτω γὰρ καὶ τῶν φιληδόνων τὸ
altogether abstaining thus for also of-the pleasure-lovers the
πάθος ἐκκόψομεν, καὶ τοὺς κεκαυτηριασμένους τὴν ἰδίαν
passion we-shall-cut-out and the(-ones) having-been-seared the own
συνείδησιν, τό γε ἐφ' ἡμῖν, θεραπεύσομεν, καὶ ἑαυτοὺς
conscience the(-part) at-least in us we-shall-heal and ourselves
δὲ τῆς ἐν ἑκατέρᾳ ὑπονοίας ἐλευθερώσομεν. Ἵνα τί γὰρ,
too from-the in each suspicion we-shall-free that why for
φησὶν, ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως;
he-says the freedom my is-judged by another conscience
Ἐγκράτεια δείκνυσι τὸν συναποθανόντα Χριστῷ, καὶ
self-control shows the(-one) having-died-with Christ and
νεκρώσαντα ἑαυτοῦ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. Ταύτην
having-mortified of-himself the members the(-ones) on the earth this
οἴδαμεν σωφροσύνης μητέρα, ὑγείας πρόξενον, τῆς τῶν
we-know of-temperance (the)-mother of-health (the)-procurer of-the of-the
ἀγαθῶν ἐν Χριστῷ καρποφορίας ἱκανῶς ὑπεξαίρουσαν
good(-things) in Christ fruit-bearing sufficiently removing
τὰ ἐμπόδια· εἴπερ, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, αἱ
the hindrances if-indeed according-to the of-the Lord voice the
μέριμναι τοῦ αἰῶνος τούτου, καὶ αἱ ἡδοναὶ τοῦ βίου,
cares of-the age this and the pleasures of-the life

καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι συμπνίγουσι τὸν λόγον,
and the about the rest desires choke the word
καὶ ἄκαρπος γίνεται. Ταύτην καὶ δαίμονες ἀποφεύγουσιν,
and unfruitful it-becomes this also demons flee
αὐτοῦ τοῦ Κυρίου διδάξαντος ἡμᾶς, ὅτι Τοῦτο τὸ γένος
himself the Lord having-taught us that this the kind
οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.
not goes-out if not by prayer and fasting

Τί τὸ μέτρον τῆς ἐγκρατείας

XIX · THE MEASURE OF SELF-CONTROL

For the soul's passions self-control has one measure, a complete break with harmful pleasure; for food, needs differ by age, work, and bodily condition, so no one time, manner, or amount can bind all. Superiors adjust it for the sick, the weary, and travelers, and the common aim is to meet need. Overfilling the belly is cursed and dulls the body, and serving pleasure makes the belly a god. The Lord fed the multitudes on barley loaves and fish with water to drink, so food should be cheap and local, imports kept to necessities like oil.

1 Ἐπὶ μὲν τῶν τῆς ψυχῆς παθῶν ἓν μέτρον ἐγκρατείας,
in indeed the of-the soul passions one measure of-self-control
ἡ παντελὴς ἀπαλλοτρίωσις τῶν πρὸς τὴν
(is)-the complete estrangement from-the(-things) toward the
ὀλεθρίαν ἡδονὴν φερόντων· ἐπὶ δὲ τῶν βρωμάτων, ὥσπερ
destructive pleasure bearing in but the foods as
αἱ χρεῖαι ἄλλαι ἄλλων εἰσί, κατά τε ἡλικίας καὶ
the needs other of-others are according-to both ages and
ἐπιτηδεύματα, καὶ πρὸς τὴν τοῦ σώματος ἕξιν οἰκείως
pursuits and toward the of-the body condition properly
διαιρούμεναι· οὕτω δὴ καὶ τὸ μέτρον τῆς χρήσεως
being-divided so indeed also the measure of-the use

διάφορον, καὶ ὁ τρόπος. Ὥστε ἑνὶ μὲν κανόνι πάντας
(is)-different and the manner so-that by-one indeed rule all
περιλαμβάνεσθαι τοὺς ἐν τῇ γυμνασίᾳ τῆς εὐσεβείας
to-be-comprised the(-ones) in the exercise of-the piety
ἀδύνατον· ἀφορίσαντες δὲ τὸ περὶ τοὺς ὑγιαίνοντας τῶν
(is)-impossible having-defined but the about the healthy of-the
ἀσκουμένων μέτρον, ἀπὸ τούτου τὴν παραλλαγὴν πρὸς
ascetics measure from this the variation toward
τὰ ἑκάστῳ συμπίπτοντα ἐστοχασμένως γίνεσθαι παρὰ
the(-things) to-each befalling with-aim to-be-made by
τῶν ἐπιτεταγμένων τὴν οἰκονομίαν ἀφίεμεν. Οὐδὲ γὰρ
the(-ones) appointed-over the dispensation we-leave not for
τὰ καθ' ἕκαστον τῷ λόγῳ περιλαμβάνειν δυνατὸν,
the(-things) in each(-case) in-the discourse to-comprise (is)-possible
ἀλλ' ὅσα τῆς κοινῆς καὶ καθόλου διδασκαλίας ἤρτηται.
but as-many-as on-the common and general teaching depend
Τὴν γὰρ τῶν ἀῤῥώστων παραμυθίαν ἐκ τῶν βρωμάτων, ἢ
the for of-the sick consolation from the foods or
τὴν τοῦ ἄλλως κεκμηκότος ἐπὶ συντόνοις ἔργοις,
the(-consolation) of-the(-one) otherwise wearied at intense works
ἢ καὶ τὴν τοῦ παρασκευαζομένου πρὸς κάματον,
or also the(-one) of-the(-one) preparing for toil
οἷον ὁδοιπορίας, ἤ τινος ἄλλου τῶν ἐπιπόνων, οἱ
such-as of-a-journey or some other of-the laborious(-things) the(-ones)
ἐφεστῶτες πρὸς λόγον ἀεὶ τῆς χρείας οἰκονομήσουσιν,
presiding by reason always of-the need will-manage
ἑπόμενοι τῷ εἰπόντι, ὅτι Διεδίδοτο ἑκάστῳ καθότι ἄν
following the(-one) having-said that it-was-distributed to-each as —
τις χρείαν εἶχεν. Οὔτε οὖν καιρὸν τροφῆς τὸν αὐτὸν πᾶσι
any need had neither then (a)-time of-food the same for-all
νομοθετῆσαι δυνατὸν, οὔτε τὸν τρόπον, οὔτε τὸ μέτρον·
to-legislate (is)-possible nor the manner nor the measure

ἀλλὰ σκοπὸς μὲν κοινὸς ἔστω ἡ τῆς χρείας ἐκπλήρωσις.
but (the)-aim indeed common let-be the of-the need fulfillment
Τὸ γὰρ ὑπερεμπίπλασθαι τὴν γαστέρα, καὶ καταβαρύνεσθαι
the for to-overfill the belly and to-be-weighed-down
ταῖς τροφαῖς, κατάρας ἄξιον, τοῦ Κυρίου εἰπόντος· Οὐαὶ
with-the foods of-curse (is)-worthy the Lord having-said woe
ὑμῖν οἱ ἐμπεπλησμένοι νῦν· καὶ αὐτὸ δὲ τὸ σῶμα
to-you the(-ones) filled now and itself too the body
δύσχρηστον πρὸς τὰς ἐνεργείας παρασκευάζει, καὶ πρὸς
hard-to-use for the activities it-makes and to
ὕπνους εὐκατάφορον, καὶ ἑτοιμότερον πρὸς τὰς βλάβας. Οὐ
sleeps prone and readier for the harms not
μὴν οὐδὲ τὸ ἡδὺ τέλος ποιεῖσθαι τῆς βρώσεως χρὴ,
indeed not-even the pleasant (the)-end to-make of-the eating (it)-is-needful
ἀλλὰ τὴν πρὸς τὸ ζῆν χρείαν, παραιτουμένους τῆς ἡδονῆς
but the for the to-live need declining of-the pleasure
τὸ ἀκόλαστον. Τὸ γὰρ δουλεύειν ταῖς ἡδοναῖς οὐδὲν ἕτερόν
the licentiousness the for to-serve to-the pleasures nothing other
ἐστιν ἢ Θεὸν· ἑαυτοῦ τὴν κοιλίαν ποιεῖν. Ἐπειδὴ γὰρ τὸ
is than God of-oneself the belly to-make since for the
σῶμα ἡμῶν, ἀεὶ κενούμενον καὶ ἀποῤῥέον, τῆς πληρώσεως
body our always being-emptied and flowing-away of-the filling
ἐπιδεῖται (διὸ καὶ φυσικαί εἰσιν αἱ τῆς τροφῆς ὀρέξεις),
needs wherefore also natural are the of-the food appetites
ὁ ὀρθὸς λόγος τῆς τῶν βρωμάτων χρήσεως τὴν πλήρωσιν
the right principle of-the of-the foods use the filling
τοῦ κενωθέντος πρὸς τὴν τοῦ ζώου σύστασιν
of-the(-thing) emptied for the of-the living-being constitution
ὑπαγορεύει, εἴτε ξηρᾶς εἴτε ὑγρᾶς τροφῆς ἡ ἔνδεια γένοιτο.
prescribes whether of-dry or of-wet food the lack should-happen

Ὅπερ ἂν οὖν μέλλῃ ἀπεριεργότερον ἡμᾶς ἀπαλλάσσειν 2
whatever — then is-about more-simply us to-free
τῆς χρείας, τοῦτο προσενεκτέον. Δηλοῖ δὲ τοῦτο αὐτὸς
from-the need this (is)-to-be-offered shows and this himself
ὁ Κύριος ἐν οἷς ἐδεξιοῦτο τὰ κεκμηκότα πλήθη πρὸς
the Lord in which he-entertained the wearied multitudes for
τὸ μὴ ἐκλυθῆναι ἐν τῇ ὁδῷ, ὡς γέγραπται. Δυνάμενος
the not to-faint in the road as it-is-written being-able
γὰρ ἐπιτεῖναι τὸ θαυμάσιον ἐν τῇ ἐρήμῳ τῇ ἐπινοίᾳ τῆς
for to-heighten the marvel in the desert by-the device of-the
πολυτελείας, οὕτω λιτὴν καὶ ἀπέριττον τὴν τροφὴν αὐτοῖς
costliness so frugal and unelaborate the food for-them
παρεσκεύασεν, ὥστε ἄρτους μὲν κριθίνους εἶναι, καὶ ἰχθύος
he-prepared so-that loaves indeed of-barley to-be and of-fish
δὲ μέρος ἐπὶ τῷ ἄρτῳ. Περὶ δὲ ποτοῦ οὐδὲ ἐμνημόνευσεν,
too (a)-portion with the bread about and drink not-even he-made-mention
ὡς αὐτοφυοῦς πᾶσι καὶ ἀρκοῦντος ταῖς χρείαις τοῦ ὕδατος
as naturally-produced for-all and sufficing for-the needs the water
προκειμένου· πλὴν εἰ μή τινι δι᾽ ἀῤῥωστίαν βλαβερὸν
being-at-hand except if not to-anyone because-of sickness harmful
εἴη τὸ τοιοῦτον ποτὸν, ὡς παραιτητέον κατὰ τὴν
should-be the such drink as to-be-refused according-to the
συμβουλὴν Παύλου τὴν πρὸς Τιμόθεον. Καὶ πάντα δὲ
advice of-Paul the(-one) to Timothy and all too
ὅσα προφανῆ τὴν βλάβην ἔχει παραιτητέα. Ἀνακόλουθον
as-many-as manifest the harm have (are)-to-be-refused inconsistent
γὰρ διὰ μὲν τὴν σύστασιν τοῦ σώματος τὰς τροφὰς
for because-of indeed the constitution of-the body the foods
αἱρεῖσθαι, δι᾽ αὐτῶν δὲ πάλιν τῶν τροφῶν προσπολεμεῖν
to-choose through themselves and again the foods to-war-against
τῷ σώματι, καὶ ἐμποδίζειν αὐτῷ πρὸς τὴν τῆς ἐντολῆς
the body and to-binder it for the of-the commandment

ὑπηρεσίαν. Τὸ αὐτὸ δὲ τοῦτο καὶ ὑπόδειγμα ἡμῖν ἐστι τοῦ
service the same and this also (an)-example for-us is of-the
τὴν ψυχὴν ἡμῶν ἐθίζειν φεύγειν τὰ βλαβερὰ, κἂν ἡδονὴν
the soul our to-accustom to-flee the harmful(-things) even-if pleasure
ἔχῃ. Χρὴ μέντοι ἐκ παντὸς τρόπου τὸ εὐποριστότερον
it-has (it)-is-needful however by every way the more-easily-procured
προτιμᾷν, ὥστε μὴ προφάσει ἐγκρατείας περιεργάζεσθαι
to-prefer so-that not on-pretext of-self-control to-busy
ἡμᾶς τὰ τιμιώτερα, καὶ πολυδάπανα παραρτύοντας διὰ
us the more-precious and costly seasoning through
τῶν πολυτιμήτων ἡδυσμάτων τὰ βρώματα· ἀλλὰ τὸ
the very-precious spices the foods but the(-thing)
ἐν ἑκάστῃ χώρᾳ εὔληπτον καὶ εὐτελὲς καὶ τοῖς πολλοῖς εἰς
in each land easily-got and cheap and to-the many for
χρῆσιν ἕτοιμον, τοῦτο αἱρεῖσθαι, τῶν ἐπεισάκτων μόνοις
use ready this to-choose of-the imported(-things) only
τοῖς ἀναγκαιοτάτοις πρὸς τὴν ζωὴν κεχρημένους· οἷον
the most-necessary for the life having-used such-as
ἐλαίῳ, καὶ τοῖς τοιούτοις, καὶ εἴ τι πρὸς τὴν ἀναγκαίαν
oil and the such(-things) and if anything for the necessary
τῶν ἀσθενούντων παραμυθίαν ἐπιτήδειον, καὶ τοῦτο
of-the(-ones) being-weak consolation suitable and this
ἐὰν ὑπάρχῃ ἄνευ πολυπραγμοσύνης καὶ θορύβων καὶ
if it-be-possible without meddling and tumults and
περισπασμῶν περιγενέσθαι.
distractions to-obtain

Τίς ὁ τρόπος τῆς ἐν βρώμασι δεξιώσεως

XX · HOSPITALITY

Display is forbidden to Christians, and the writer fears the brothers may share the shame outsiders feel at poverty and lay costly tables for guests. A brother visiting finds his own table, with only enough added to ease a journey; an outsider learns frugality from it, or, if he laughs, troubles them no more. The Christian life has one aim, God's glory. Martha was rebuked, the Lord fed the five thousand plainly, and Jacob and Solomon asked only for what suffices. Food God gives for the hungry must not be spent on the pleasures of the luxurious.

Ἡ κενοδοξία, καὶ ἡ ἀνθρωπαρέσκεια, καὶ τὸ πρὸς ἐπίδειξίν 1
the vainglory and the men-pleasing and the for show
τι ποιεῖν, ὅλως ἐπὶ παντὸς πράγματος Χριστιανοῖς
anything to-do wholly in every matter for-Christians
ἀπηγόρευται· ὅπου γε καὶ αὐτὴν τὴν ἐντολὴν ὁ
is-forbidden where at-least even itself the commandment the(-one)
πρὸς τὸ θεαθῆναι ὑπὸ τῶν ἀνθρώπων καὶ δοξασθῆναι
for the to-be-seen by the men and to-be-glorified
ποιῶν τὸν ἐπ' αὐτῇ μισθὸν ἀπόλλυσι. Τοῖς δὲ πᾶν
doing the for it reward loses for-the(-ones) and every
εἶδος ταπεινώσεως διὰ τὴν ἐντολὴν τοῦ Κυρίου
kind of-humility because-of the commandment of-the Lord
καταδεξαμένοις μεθ' ὑπερβολῆς φευκτέος πᾶς κενοδοξίας
having-accepted with excess (is)-to-be-fled every of-vainglory
τρόπος. Ἐπεὶ δὲ τοὺς ἔξωθεν ὁρῶμεν τὸ ταπεινὸν τῆς
manner since and the(-ones) outside we-see the lowliness of-the
πενίας αἰσχυνομένους, καὶ ἐπιτηδεύοντας πᾶσαν ἀφθονίαν
poverty being-ashamed-of and practicing all abundance
βρωμάτων καὶ πολυτέλειαν, ὅταν τινὰ τῶν ξένων
of-foods and costliness when some(-one) of-the strangers
δέχωνται, φοβοῦμαι μὴ καὶ ἡμῶν κατὰ τὸ λανθάνον τὸ
they-receive I-fear lest also of-us in the hidden(-way) the

αὐτὸ πάθος ἅψηται, καὶ ἐλεγχθῶμεν ἐπαισχυνόμενοι τὴν
same passion take-hold and we-be-convicted being-ashamed-of the
ὑπὸ Χριστοῦ μακαριζομένην πτωχείαν. Ὥσπερ οὖν σκεύη
by Christ called-blessed poverty as then vessels
ἀργυρᾶ, ἢ καταπετάσματα περιπόρφυρα, ἢ στρωμνὴν
of-silver or curtains purple-bordered or (a)-bed
μαλακὴν, ἢ ἐπιβλήματα διαφανῆ συμπορίζεσθαι ἔξωθεν
soft or coverings transparent to-procure from-outside
οὐκ εὐπρεπὲς ἡμῖν· οὕτως οὐδὲ βρώματα περινοεῖν
(is)-not seemly for-us so not-even foods to-devise
παρὰ πολὺ τῆς ἡμετέρας διαίτης ἐξηλλαγμένα. Τὸ γὰρ
by much from-the our way-of-life different the for
περιτρέχειν ἡμᾶς διερευνωμένους τὰ μὴ πρὸς τὸ
to-run-about us searching-out the(-things) not for the
ἀναγκαῖον τῆς χρείας ἐπιζητούμενα, ἀλλὰ πρὸς τὴν ἀθλίαν
necessary(-part) of-the need sought but for the wretched
ἡδονὴν καὶ ὀλεθρίαν κενοδοξίαν περινενοημένα, οὐ μόνον
pleasure and destructive vainglory devised not only
αἰσχρὸν καὶ ἀσύμφωνον τῷ προκειμένῳ ἡμῖν σκοπῷ, ἀλλὰ
(is)-shameful and discordant with-the set-before us aim but
καὶ βλάβην ἔχον οὐ τὴν τυχοῦσαν, ὅταν οἱ τρυφῶντες,
also harm having not the chance(-harm) when the(-ones) living-luxuriously
καὶ ταῖς ἡδοναῖς τῆς γαστρὸς τὴν μακαριότητα ὁριζόμενοι,
and in-the pleasures of-the belly the blessedness defining
περὶ τὰς αὐτὰς φροντίδας ὁρῶσι καὶ ἡμᾶς στρεφομένους,
about the same cares see also us turning
περὶ ἃς ἐκεῖνοι ἐπτόηνται. Εἰ γὰρ πονηρὸν ἡ τρυφὴ
about which those are-excited if for evil (is)-the luxury
καὶ φευκτὸν, οὐδέποτε ἡμῖν αἱρετή. Οὐδὲν γὰρ τῶν
and to-be-fled never for-us (is)-to-be-chosen nothing for of-the(-things)
κατεγνωσμένων δύναται εἶναι πρὸς καιρὸν ἐπιτήδειον.
condemned can be for (the)-occasion suitable

Οἱ σπαταλῶντες, καὶ τὰ πρῶτα μύρα χριόμενοι,
the(-ones) living-wantonly and the first ointments anointing-themselves
καὶ τὸν διυλισμένον οἶνον πίνοντες, κατηγοροῦνται ὑπὸ
and the strained wine drinking are-accused by
τῆς Γραφῆς. Καὶ διὰ τὴν σπατάλην ἡ χήρα, ζῶσα,
the Scripture and because-of the wantonness the widow living
τεθνηκέναι λέγεται. Ὁ πλούσιος ἀπεστερήθη τοῦ παραδείσου
to-be-dead is-said the rich-man was-deprived of-the paradise
διὰ τὴν ἐνταῦθα τρυφήν. Τί οὖν ἡμῖν καὶ ταῖς
because-of the here luxury what then to-us and to-the
πολυτελείαις; Ἐπεδήμησέ τις τῶν ξένων; Εἰ μὲν ἀδελφὸς,
costlinesses came-to-stay someone of-the strangers if indeed (a)-brother
καὶ τὸν αὐτὸν σκοπὸν ἔχων τοῦ βίου, τὴν οἰκείαν τράπεζαν
and the same aim having of-the life the own table
ἐπιγνώσεται. Ἃ γὰρ κατέλιπεν οἴκοι, ταῦτα εὑρήσει
he-will-recognize what for he-left at-home these(-things) he-will-find
παρ᾽ ἡμῖν. Ἀλλὰ κέκμηκεν ἐκ τῆς ὁδοιπορίας; Τοσοῦτον
with us but he-is-wearied from the journey so-much
αὐτῷ προστίθεμεν, ὅσον τὸν κόπον παραμυθήσασθαι.
to-him we-add as-much-as the toil to-console
Ἄλλος ἐλήλυθεν ἐκ τοῦ ἔξωθεν βίου; Μαθέτω διὰ τῶν 2
another has-come from the outside life let-him-learn through the
ἔργων, ὅσα ὁ λόγος αὐτὸν οὐκ ἔπεισε, καὶ λαβέτω
works as-many-as the word him not persuaded and let-him-take
τύπον καὶ ὑπογραμμὸν τῆς ἐν τροφαῖς αὐταρκείας.
(a)-pattern and model of-the in foods sufficiency
Ἐναπομεινάτω αὐτῷ ὑπομνήματα Χριστιανῶν τραπέζης,
let-remain with-him reminders of-Christians table
καὶ ἀνεπαισχύντου διὰ Χριστὸν πτωχείας. Εἰ δὲ
and unashamed because-of Christ poverty if but
οὐ προσέξει, ἀλλὰ καταγελάσει, δεύτερον ἡμῖν οὐκ
not he-will-attend but will-laugh-at (a)-second(-time) us not

ἐνοχλήσει. Ἡμεῖς δὲ, ὅταν τινὰς τῶν πλουσίων ἴδωμεν,
he-will-trouble we and when some of-the rich(-men) we-see
οἳ τὴν ἀπόλαυσιν τῶν ἡδέων ἐν τοῖς πρώτοις
who the enjoyment of-the pleasant(-things) among the first
τῶν ἀγαθῶν τίθενται, μέγα στενάζομεν ἐπ' αὐτοῖς, ὅτι
of-the goods set greatly we-groan over them that
τῇ ματαιότητι πάντα τὸν βίον προσαναλίσκοντες, καὶ
in-the vanity all the life spending and
θεοποιήσαντες ἑαυτῶν τὰς ἡδονὰς, ἐν τῇ ζωῇ ταύτῃ τῶν
having-deified of-themselves the pleasures in the life this of-the
ἀγαθῶν τὸ μέρος ἀπολαμβάνοντες οὐκ αἰσθάνονται, διὰ
goods the share receiving not they-perceive through
τῆς ἐνταῦθα τρυφῆς, ἐφ' ἕτοιμον τὸ πῦρ καὶ τὸν ἐν αὐτῷ
the here luxury to ready the fire and the in it
καύσωνα πορευόμενοι. Κἂν καιροῦ ποτε τύχωμεν, οὐδὲ
burning going and-if (an)-occasion ever we-meet not-even
πρὸς αὐτοὺς ἐκείνους ταῦτα διεξελθεῖν ὀκνοῦμεν. Εἰ δὲ
to them those(-very) these(-things) to-go-through do-we-shrink if but
μέλλοιμεν καὶ αὐτοὶ τοῖς αὐτοῖς ἐνέξεσθαι, καὶ, κατὰ
we-were-about also ourselves in-the same(-things) to-be-held and according-to
τὴν ὑπάρχουσαν ἡμῖν δύναμιν, καὶ τὰ πρὸς ἡδονὴν
the existing in-us power also the(-things) for pleasure
ἐπιζητεῖν, καὶ πρὸς ἐπίδειξιν παρασκευάζεσθαι, φοβοῦμαι,
to-seek and for show to-prepare I-fear
μὴ ἃ καταλύομεν, ταῦτα φανῶμεν οἰκοδομοῦντες,
lest what we-destroy these we-appear building
καὶ δι' ὧν ἑτέρους κρίνομεν, ἑαυτοὺς κατακρίνωμεν,
and through what others we-judge ourselves we-condemn
ἐσχηματισμένως τῷ βίῳ κεχρημένοι, καὶ ἄλλοτε ἄλλως
artificially the life using and at-one-time otherwise
μεταμορφούμενοι, εἰ μὴ ἄρα καὶ τὰς ἐσθῆτας ἡμῶν
being-transformed if not perhaps also the clothes our

διαμείψωμεν, ὅταν τοῖς ὑπερηφάνοις περιτυγχάνωμεν. Εἰ δὲ
we-should-change when the proud we-meet if but
τοῦτο αἰσχρὸν, πολλῷ αἰσχρότερον διὰ τοὺς τρυφῶντας
this (is)-shameful by-much more-shameful because-of the(-ones) living-luxuriously
τὴν τράπεζαν ἡμῶν μετασκευάζεσθαι. Μονότροπός ἐστιν
the table our to-alter single-fashioned is
ὁ τοῦ Χριστιανοῦ βίος, ἕνα σκοπὸν ἔχων, τὴν δόξαν τοῦ
the of-the Christian life one aim having the glory —
Θεοῦ. Εἴτε γὰρ ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε,
of-God whether for you-eat or you-drink or anything you-do
πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε, φησὶν ὁ ἐν Χριστῷ
all(-things) to (the)-glory of-God do says the(-one) in Christ
λαλῶν Παῦλος. Πολύτροπος δὲ καὶ ποικίλος ὁ τῶν
speaking Paul many-fashioned and and variegated (is)-the of-the(-ones)
ἔξωθεν βίος, ἄλλοτε ἄλλως πρὸς τὴν ἀρέσκειαν τῶν
outside life at-one-time otherwise toward the pleasing of-the(-ones)
ἐντυγχανόντων μεταπλασσόμενος.
meeting(-them) being-remolded
Ὥστε καὶ σὺ, πλήθει βρωμάτων καὶ περιεργίᾳ πρὸς 3
so-that also you by-multitude of-foods and elaborateness for
ἡδονὴν μετασκευάζων τοῦ ἀδελφοῦ σου τὴν τράπεζαν,
pleasure altering of-the brother your the table
κατηγορεῖς αὐτοῦ φιληδονίαν, καὶ καταχέεις αὐτοῦ
accuse his love-of-pleasure and pour-on him
γαστριμαργίας ὀνείδη δι' ὧν παρασκευάζῃ, ἐλέγχων
of-gluttony reproaches through what you-prepare convicting
αὐτοῦ τὴν περὶ ταῦτα ἡδυπάθειαν. Ἢ οὐχὶ πολλάκις,
his the about these(-things) luxuriousness or not often
τὸ εἶδος καὶ τὸν τρόπον τῆς παρασκευῆς θεωρήσαντες,
the kind and the manner of-the preparation having-observed
ἐστοχάσμεθα τοῦ προσδοκωμένου, ὅστις ἐστὶν, ἢ ὅπερ
did-we-guess of-the expected(-guest) who he-is or what

ἐστίν; Οὐκ ἐπῄνεσε τὴν Μάρθαν εἰς πολλὴν διακονίαν
he-is not praised — Martha into much serving
περισπωμένην ὁ Κύριος· ἀλλὰ, Μεριμνᾷς, καὶ τυρβάζῃ,
distracted the Lord but you-are-anxious and you-are-troubled
φησὶ, περὶ πολλά· ὀλίγων δέ ἐστι χρεία, ἢ ἑνός·
he-says about many(-things) of-few and there-is need or of-one
ὀλίγων μὲν, δηλονότι τῶν πρὸς παρασκευὴν, ἑνὸς δὲ
of-few indeed clearly of-the(-things) for preparation of-one and
τοῦ σκοποῦ, ὥστε τὴν χρείαν ἐκπληρωθῆναι. Αὐτὸς δὲ ὁ
the aim so-that the need to-be-fulfilled himself and the
Κύριος ὁποίαν παρέθηκε τοῖς πεντακισχιλίοις τροφὴν οὐκ
Lord what-sort set-before the five-thousand food not
ἀγνοεῖς. Ἡ δὲ εὐχὴ τοῦ Ἰακὼβ πρὸς τὸν Θεόν· Ἐὰν
you-are-ignorant the and prayer — of-Jacob to — God if
δῷς μοι, φησὶν, ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι·
you-give me he-says bread to-eat and clothing to-put-on
οὐκ, Ἐὰν τρυφὴν δῷς μοι καὶ πολυτέλειαν. Τί δὲ ὁ
not if luxury you-give me and costliness what and the
σοφώτατος Σολομών; Πλοῦτον δὲ καὶ πενίαν, φησὶ, μή
most-wise Solomon riches but and poverty he-says not
μοι δῷς· σύνταξον δέ μοι τὰ δέοντα, καὶ αὐτάρκη,
to-me give appoint but to-me the(-things) needful and sufficient
ἵνα μὴ πλησθεὶς ψευδὴς γένωμαι, καὶ εἴπω· Τίς με ὁρᾷ;
that not having-been-filled false I-become and say who me sees
ἢ πενόμενος κλέψω, καὶ ὀμόσω τὸ ὄνομα τοῦ Θεοῦ μου·
or being-poor I-steal and swear-by the name — of-God my
πλοῦτον μὲν εἶναι τὴν πλησμονὴν ὁριζόμενος, πενίαν δὲ
riches indeed to-be the surfeit defining poverty but
τὴν παντελῆ ἀπορίαν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων·
the complete lack of-the(-things) for the to-live necessary
διὰ δὲ τῆς αὐταρκείας τὸ ἀνενδεὲς ὁμοῦ καὶ ἀπέριττον
through and the sufficiency the lack-of-want together and simplicity

τῶν πρὸς τὴν χρείαν δηλῶν. Αὐτάρκεια δὲ ἄλλη
of-the(-things) for the need making-clear sufficiency and (is)-other
ἄλλῳ κατά τε τὴν τοῦ σώματος ἕξιν καὶ τὴν
to-another according-to both the of-the body condition and the
πρὸς τὸ προκείμενον χρείαν. Τῷ μὲν γὰρ πλείονος
toward the set-before need to-the(-one) indeed for of-more
τροφῆς καὶ ἰσχυροτέρας χρεία διὰ τὸν κόπον,
food and stronger (there-is)-need because-of the toil
τῷ δὲ λεπτοτέρας καὶ κουφοτέρας, καὶ καταλλήλου
to-the(-other) and of-lighter and less-heavy and suitable
τὰ πάντα διὰ τὴν ἀσθένειαν· κοινῇ δὲ πᾶσιν
the all(-things) because-of the weakness in-common and to-all
εὐτελεστέρας καὶ εὐποριστοτέρας. Ἐν παντὶ μέντοι
of-cheaper and more-easily-procured(-food) in every(-thing) however
τὸ ἐπιμελὲς καὶ τὸ εὐτράπεζον ἀναγκαῖον, μηδαμοῦ τοὺς
the carefulness and the good-table (is)-necessary in-no-way the
ὅρους ἡμῶν τῆς χρείας ὑπερβαινόντων· ἀλλὰ τοῦτο ἔστω
limits our of-the need exceeding but this let-be
τῆς δεξιώσεως πέρας, τὸ παρὰ τῆς ἑκάστου χρείας
of-the hospitality (the)-limit the(-thing) by the of-each need
τῶν ἐπιδημούντων ἐπιζητούμενον. Ὡς χρώμενοι γὰρ,
of-the(-ones) staying sought as using for
φησὶ, τῷ κόσμῳ τούτῳ, καὶ μὴ παραχρώμενοι. Παράχρησις
he-says the world this and not abusing(-it) abuse
δέ ἐστιν ἡ ὑπὲρ τὴν χρείαν δαπάνη. Οὐκ ἔχομεν χρήματα;
and is the beyond the need expense not we-have money
μηδὲ ἔχοιμεν. Οὐ γέμουσιν ἡμῶν αἱ ἀποθῆκαι; Ἐφήμερος
nor may-we-have not are-full our the storehouses for-the-day
γὰρ ἡμῖν ἡ τροφή· διὰ χειρῶν ὁ βίος. Τί οὖν
for (is)-to-us the food through hands the life why then
τὴν δεδομένην παρὰ Θεοῦ τροφὴν τοῖς πεινῶσιν εἰς
the given by God food for-the hungry on

ἡδονὰς τρυφώντων παραναλίσκομεν; ἀμφοτέρωθεν
pleasures of-(those)-living-luxuriously do-we-spend on-both-sides
ἁμαρτάνοντες, καὶ τούτοις ἐπιτείνοντες τὰς ἐκ τῆς ἐνδείας
sinning both for-these intensifying the from the want
θλίψεις, κἀκείνοις τὰς βλάβας τὰς ἐκ τοῦ κόρου.
afflictions and-for-those the harms the(-ones) from the satiety

Πῶς δεῖ περὶ τὰς καθέδρας καὶ τὰς κατακλίσεις ἐν τῷ καιρῷ τῶν ἀρίστων ἢ δείπνων ἔχειν

XXI · PLACES AT TABLE

Since the Lord's command bids us take the last place at dinners, the brothers must keep it. When worldly guests recline with them, they set them an example of not seeking the first place. Among brothers, where all come with the same aim, each should seek the last place, but jostling for it is disapproved, since it destroys good order and makes them like those who fight for the first. The order of seating is therefore left to the one who receives them, as the Lord assigned it to the master of the house; stubborn refusal shows more pride than taking a higher place when told.

Ἐπειδὴ πρόσταγμά ἐστι Κυρίου πανταχοῦ πρὸς τὴν
since (a)-command it-is of-(the)-Lord everywhere to the
ταπείνωσιν ἐθίζοντος ἡμᾶς τὸ καὶ ἐν τοῖς ἀρίστοις
humility accustoming us the(-thing) also at the dinners
κατακλινομένους τὸν ἔσχατον τόπον προκαταλαμβάνειν,
reclining the last place to-take-first
ἀνάγκη τὸν πάντα κατ' ἐντολὴν ποιεῖν
(it-is)-necessary-for the(-one) all(-things) according-to commandment to-do
ἐσπουδακότα μηδὲ τοῦτο παρορᾷν τὸ πρόσταγμα. Ἂν
having-been-zealous not-even this to-overlook the command if
μὲν οὖν κοσμικοί τινες ἡμῖν συγκατακλίνωνται, ὑπόδειγμα
indeed then worldly some with-us recline (an)-example

αὐτοῖς πρὸς τὸ μὴ ὑπεραίρεσθαι, μηδὲ τὸ φιλόπρωτον
for-them toward the not to-be-exalted nor the love-of-first-place
ἐπιζητεῖν, καὶ ἐκ τούτου τοῦ μέρους γίνεσθαι ἡμᾶς
to-seek also from this the part to-become us
προσήκει. Ὅπου δὲ πάντες κατὰ τὸν ἴσον σκοπὸν
it-befits where but all according-to the equal aim
συνέρχονται, ὥστε ἐν παντὶ καιρῷ τὴν δοκιμὴν τῆς
come-together so-that in every occasion the proof of-the
ταπεινοφροσύνης ἑαυτῶν διδόναι, τὸ μὲν προκαταλαμβάνειν
humility of-themselves to-give the indeed to-take-first
τὸν ἔσχατον τόπον κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου
the last place according-to the commandment of-the Lord
ἑκάστῳ ἐπιβάλλον· τό γε μὴν πάλιν φιλονείκως
to-each (is)-incumbent the(-thing) at-least indeed again contentiously
περὶ τοῦτον συνωθεῖσθαι ἀδόκιμον, ὡς ἀναιρετικὸν τῆς
about this to-jostle (is)-unapproved as destructive of-the
εὐταξίας καὶ θορύβου αἴτιον. Καὶ τὸ πρὸς ἀλλήλους
good-order and of-tumult (a)-cause and the toward one-another
δὲ ἀνενδότως ἔχειν, καὶ ἡ περὶ τούτου μάχη, ὁμοίους
too unyieldingly to-be and the about this fight like
ἡμᾶς ποιήσει τοῖς περὶ πρωτείων φιλονεικοῦσι. Διόπερ
us will-make to-the(-ones) about first-places contending wherefore
χρὴ καὶ ἐνταῦθα, τὸ πρέπον ἡμῖν περιεσκεμμένως
(it)-is-needful also here the fitting for-us circumspectly
γνωρίζοντας καὶ σπουδάζοντας, ἐπιτρέπειν τῷ ὑποδεχομένῳ
recognizing and being-eager to-entrust to-the (one)-receiving(-us)
καὶ τὴν τῆς κατακλίσεως τάξιν, καθὰ καὶ ὁ Κύριος
also the of-the reclining order as also the Lord
ὑπέθετο, τῷ οἰκοδεσπότῃ προσήκειν εἰπὼν τὴν περὶ
counseled to-the master-of-the-house to-belong having-said the about
τούτων διαταγήν. Οὕτω γὰρ καὶ ἀνεξόμεθα ἀλλήλων ἐν
these(-things) ordinance thus for also we-shall-bear-with one-another in

ἀγάπῃ, πάντα εὐσχημόνως καὶ κατὰ τάξιν ποιοῦντες·
love all(-things) decently and according-to order doing
καὶ οὐ πρὸς ἔνδειξιν τῶν πολλῶν, οὔτε δημοκοπικῶς
and not for show of-the many nor demagogically
τὴν ταπεινοφροσύνην ἐπιτηδεύειν διὰ τῆς ἀνενδότου
the humility to-practice through the unyielding
καὶ σφοδρᾶς ἀντιλογίας δείξομεν· μᾶλλον δὲ διὰ τῆς
and vehement contradiction we-shall-show rather but through the
εὐπειθείας τὸ ταπεινὸν κατορθώσομεν. Πλείων γὰρ ἐκ
obedience the humble(-thing) we-shall-achieve more for from
τῆς ἀντιλογίας ἡ τῆς ὑπερηφανίας ἔμφασις, ἢ ἐκ τῆς
the contradiction the of-the arrogance appearance than from the
πρωτοκλισίας, ὅταν ἐκ προστάγματος αὐτὴν καταδεχώμεθα.
first-reclining when by command it we-accept

Τί τὸ πρέπον ἔνδυμα τῷ Χριστιανῷ

XXII · CLOTHING

Humility, frugality, and cheapness rule clothing too: as the vain seek glory from costly dress, the humble choose the lowest, and fine dress shames the poor as the Corinthians' suppers did. Christians should resemble John in camel's hair, not those in soft clothing in palaces. Paul's food and covering set the aim, to cover the body and protect it from the weather, so one garment should serve every use, day and night. A common dress marks the Christian's profession, as a soldier's or senator's marks his rank, and holds the weaker to their conduct. The same rule governs shoes.

1 Προλαβὼν ὁ λόγος τήν τε ταπεινοφροσύνην ἀναγκαίαν
having-anticipated the word the both humility necessary
ἔδειξε, καὶ τὴν λιτότητα, καὶ τὸ ἐν πᾶσιν εὐτελὲς, καὶ
showed and the frugality and the in all(-things) cheap and
ὀλιγοδάπανον, ὡς ὀλίγας ἐκ τῶν σωματικῶν χρειῶν
low-cost so-that few from the bodily needs

τὰς ἀφορμὰς τῶν περισπασμῶν ἐγγίνεσθαι ἡμῖν. Ἐκείνοις
the occasions of-the distractions to-arise in-us those
οὖν τοῖς σκοποῖς ἕπεσθαι χρὴ καὶ τὸν περὶ ἐνδύματος
then the aims to-follow (it)-is-needful also the about clothing
λόγον. Εἰ γὰρ πάντων προσήκει ἡμᾶς σπουδάζειν ἐσχάτους
word if for of-all it-befits us to-be-eager last
εἶναι, καὶ ἐν τούτῳ, δηλονότι, τὸ ἔσχατον προτιμότατον.
to-be also in this clearly the last (is)-most-preferable
Ὥσπερ γὰρ οἱ φιλόδοξοι καὶ ἐκ τῆς περιβολῆς τῶν
as for the glory-loving also from the wearing of-the
ἐνδυμάτων τὴν δόξαν ἑαυτοῖς θηρῶνται, ἀποβλέπεσθαι καὶ
clothes the glory for-themselves hunt to-be-looked-at and
ζηλοῦσθαι ἐπὶ τῇ πολυτελείᾳ τῆς ἐσθῆτος φιλοτιμούμενοι·
to-be-envied for the costliness of-the dress being-ambitious
οὕτω, δηλονότι, τὸν εἰς ἔσχατον αὐτοῦ τὴν ζωὴν διὰ
so clearly the(-one) to last his the life through
τῆς ταπεινώσεως καταβαλόντα αἱρεῖσθαι προσήκει καὶ
the humility having-cast-down to-choose it-befits also
ἐν τούτοις τὸ πάντων ἔσχατον. Ὥσπερ γὰρ ἐν τῷ
in these(-things) the(-thing) of-all last as for at the
δημοσίῳ δείπνῳ ἐγκαλοῦνται Κορίνθιοι, ὡς τῇ ἑαυτῶν
public supper are-accused (the)-Corinthians as by-the their-own
πολυτελείᾳ καταισχύνοντες τοὺς μὴ ἔχοντας· οὕτω,
costliness shaming the(-ones) not having so
δηλονότι, καὶ ἐν τῇ κοινῇ καὶ προφανεῖ τῶν ἐνδυμάτων
clearly also in the common and manifest of-the clothes
χρήσει ὁ ὑπὲρ τοὺς πολλοὺς σχηματισμὸς οἱονεὶ διὰ τῆς
use the beyond the many display as-it-were through the
συγκρίσεως καταισχύνει τὸν πένητα. Τοῦ δὲ Ἀποστόλου
comparison shames the poor(-man) the and Apostle
λέγοντος· Μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς
saying not the(-things) high minding but to-the

ταπεινοῖς συναπαγόμενοι, ἐξεταζέτω ἕκαστος ἑαυτὸν, ἡ
lowly being-drawn-along let-examine each himself the
πρὸς τίνα ὁμοίωσις ἁρμοδιωτέρα ἐστὶ Χριστιανοῖς, τοὺς
toward whom likeness more-fitting is for-Christians the(-ones)
ἐν τοῖς βασιλείοις οἰκοῦντας, καὶ τὰ μαλακὰ ἠμφιεσμένους,
in the palaces dwelling and the soft(-things) having-been-clothed-in
ἢ ἡ πρὸς τὸν ἄγγελον καὶ κήρυκα τῆς τοῦ Κυρίου
or the toward the angel and herald of-the of-the Lord
ἐπιδημίας, οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ
sojourn than-whom greater among (those)-born of-women not
ἐγήγερται. Ἰωάννην λέγω, τὸν τοῦ Ζαχαρίου, οὗ τὸ
has-been-raised John I-mean the(-son) — of-Zechariah whose the
ἔνδυμα ἦν ἐκ τριχῶν καμήλου. Καὶ οἱ πάλαι δὲ ἅγιοι
having-said that — God scattered (the)-bones of-men-pleasers
Ὥστε πρὸς ἀρέσκειαν μὲν οὐδὲ ἀνδρὶ συντυχεῖν ἀνέξεται·
so-that for pleasing indeed not-even (a)-man to-meet will-he-endure
ἕνεκεν δὲ τῆς κατ᾽ ἐντολὴν Θεοῦ ὀφειλομένης
for-the-sake but of-the according-to commandment of-God owed
ἑκάστῳ παρὰ τοῦ πλησίον σπουδῆς τῆς χρείας ἀπαιτούσης
to-each from the neighbor zeal the need demanding
ἐπὶ τὴν συντυχίαν ἐλεύσεται. Οὐ μὴν οὐδὲ τοῖς
to the meeting he-will-come not indeed not-even to-the(-ones)

βουλομένοις ἁπλῶς ἐφίεσθαι χρὴ τὴν συντυχίαν,
wishing simply to-be-permitted (it)-is-needful the meeting
οὐδὲ καιρὸς πρὸς ταύτην, οὐδὲ τόπος πᾶς ἐπιτήδειος. Ἀλλ'
nor (is)-time for this nor place every suitable but
εἴ γε μέλλοιμεν κατὰ τὸ πρόσταγμα τοῦ Ἀποστόλου
if at-least we-are-to according-to the command of-the Apostle
ἀπρόσκοποι γίνεσθαι καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ
without-offense to-be both to-Jews and to-Greeks and to-the
Ἐκκλησίᾳ τοῦ Θεοῦ, πάντα δὲ εὐσχημόνως καὶ κατὰ
Church — of-God all(-things) but decently and according-to
τάξιν, καὶ πάντα πρὸς οἰκοδομὴν ποιεῖν, ἀνάγκη καὶ
order and all(-things) for building-up to-do (it-is)-necessary both
πρόσωπον, καὶ καιρὸν, καὶ χρείαν, καὶ τόπον κατ' ἐκλογὴν
person and time and need and place by choice
ἀφωρίσθαι πρεπόντως· δι' ὧν ἁπάντων ὑπονοίας μὲν
to-be-defined fittingly through which all of-suspicion indeed
πονηρᾶς καὶ σκιὰ πᾶσα ἐξελαθήσεται, σεμνότητος δὲ
evil also shadow every will-be-driven-out of-gravity but
καὶ σωφροσύνης ἀπόδειξις ἐν παντὶ τρόπῳ ἐπιφανήσεται
and of-temperance proof in every way will-appear
τοῖς δοκιμασθεῖσιν ὁρᾷν ἀλλήλους, καὶ βουλεύεσθαι
for-the(-ones) approved to-see one-another and to-take-counsel
περὶ τῶν ἀρεσκόντων Θεῷ κατά τε τὴν σωματικὴν
about the(-things) pleasing to-God according-to both the bodily
χρείαν καὶ τὴν τῶν ψυχῶν ἐπιμέλειαν. Ἔστωσαν δὲ
need and the of-the souls care let-them-be and
μὴ ἐλάττους τῶν δύο ἐξ ἑκατέρου μέρους· τὸ γὰρ ἓν
not fewer than-the two from each part the for one
πρόσωπον εὐεπηρέαστον εἰς ὑποψίαν, ἵνα μὴ πλέον τι
person (is)-easily-exposed to suspicion that not more anything
λέγω καὶ ἀσθενέστερον πρὸς τὴν τῶν λεγομένων
I-say and weaker toward the of-the(-things) said

βεβαίωσιν, σαφῶς τῆς Γραφῆς διαγορευούσης ἐπὶ δύο καὶ
confirmation clearly the Scripture declaring on two and
τριῶν ἵστασθαι πᾶν ῥῆμα· μήτε τῶν τριῶν πλείους, ὥστε
three to-stand every word nor than-the three more so-that
μὴ τὴν σπουδὴν τῆς φιλεργίας τῆς διὰ τὴν ἐντολὴν
not the zeal of-the love-of-work the because-of the commandment
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ γινομένης ἐμποδίζεσθαι.
of-the Lord our Jesus Christ arising to-be-hindered
Εἰ δέ τινας τῶν ἄλλων τῶν ἐν τῇ ἀδελφότητι χρεία 2
if but some of-the others of-the(-ones) in the brotherhood need
γένοιτο εἰπεῖν ἢ καὶ ἀκοῦσαί τι ἰδίᾳ τινὶ διαφέρον,
arise to-say or also to-hear something privately some(-one) concerning
μὴ αὐτοὶ ἐκεῖνοι εἰς ὁμιλίαν ἐρχέσθωσαν ἀλλήλοις· οἱ
not they those(-very) into converse let-them-come with-one-another the
δὲ ἐπιλεγέντες πρεσβύτεροι ταῖς ἐπιλεγείσαις πρεσβυτέραις
but chosen elders to-the chosen elder(-women)
τὰ παρ᾽ αὐτῶν διακονείτωσαν, καὶ οὕτω διὰ τῆς
the(-things) from them let-them-minister and so through the
τούτων μεσιτείας ἡ τοῦ λόγου χρεία πληρούσθω. Ἡ δὲ αὐτὴ
their mediation the of-the word need let-be-fulfilled the and same
εὐταξία οὐ μόνον ἐν γυναιξὶ πρὸς ἄνδρας, ἢ ἀνδράσι πρὸς
good-order not only in women toward men or in-men toward
γυναῖκας, ἀλλὰ καὶ ἐν τοῖς ὁμογενέσι πρὸς τοὺς ὁμογενεῖς
women but also in the(-ones) of-the-same-sex toward those of-the-same-sex
φυλασσέσθω. Οὗτοι μὲν οὖν ἔστωσαν μετὰ τῆς ἄλλης ἐν
let-be-kept these indeed then let-them-be with the other in
πᾶσιν εὐλαβείας τε καὶ σεμνότητος, καὶ συνετοὶ πρός
all(-things) reverence both and gravity and understanding for
τε ἐπερώτησιν καὶ ἀπόκρισιν, πιστοί τε καὶ φρόνιμοι πρὸς
both question and answer faithful both and prudent for
τὴν τῶν λεγομένων οἰκονομίαν, καὶ πληροῦντες τό·
the of-the(-things) said management and fulfilling the(-word)

Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει, ὥστε καὶ τοῖς
he-will-manage the words his in judgment so-that also for-the(-ones)
ἐμπιστεύουσιν αὐτοῖς ὁμοῦ τήν τε χρείαν πληροῦσθαι,
entrusting to-them at-once both the need to-be-fulfilled
καὶ τὴν πληροφορίαν ὑπάρχειν περὶ τῶν ἐν αὐτοῖς
and the assurance to-exist about the(-things) in them
κινουμένων. Ὑπηρετείτωσαν δὲ καὶ ταῖς τοῦ σώματος
moving let-serve and also the of-the body
χρείαις ἄλλοι τινὲς, καὶ αὐτοὶ μετὰ δοκιμασίας, τήν τε
needs others some also themselves with testing in-the both
ἡλικίαν προήκοντες καὶ τὸ σχῆμα καὶ τὸ ἦθος σεμνοὶ,
age advanced and in-the bearing and the character grave
πρὸς τὸ μὴ πλῆξαί τινος συνειδὸς εἰς ὑποψίαν κακήν. Ἵνα
for the not to-strike anyone's conscience into suspicion evil that
τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως;
why for the freedom my is-judged by another conscience

Ποταποὺς χρὴ εἶναι τοὺς τὰ πρὸς τὴν χρείαν οἰκονομοῦντας ἐν τῇ ἀδελφότητι

XXXIV · THOSE WHO DISTRIBUTE NECESSITIES

Those who distribute what each needs must imitate those in Acts who gave to each as any had need, compassionate and long-suffering toward all, avoiding both partiality, which Paul forbids, and contentiousness, which he says the churches of God do not have. Both tear apart the harmony of love and bring suspicion, jealousy, and sloth. They and all who serve the brothers must work as serving the Lord himself, who counts what is done for the least of his brothers as done for him, and fear the curse on those who do the Lord's work negligently. Those who receive the service must show themselves worthy to be called the Lord's brothers by doing the Father's will, for one who neglects it is estranged from that portion and dares to share unworthily in what is prepared for the worthy.

Καὶ τῶν ἔσω δὲ τὰ πρὸς τὴν χρείαν ἐπινεμόντων 1
and of-the(-ones) within too the(-things) for the need distributing
ἐν ἑκάστῳ τάγματι πάντως ἔσονταί τινες οἱ δυνάμενοι
in each rank surely there-will-be some the(-ones) able
μιμεῖσθαι τοὺς ἐν ταῖς Πράξεσι ποιοῦντας τὸ
to-imitate the(-ones) in the Acts doing the(-thing)
εἰρημένον ὅτι, Διεδίδοτο ἑκάστῳ καθότι ἄν τις χρείαν
said that it-was-distributed to-each as — anyone need
εἶχε· πρόνοιαν ποιούμενοι πολλὴν τοῦ τε εὐσπλάγχνου καὶ
had forethought making much of-the both compassionate and
μακροθύμου πρὸς πάντας, καὶ τοῦ μήτε ὑποψίαν δοῦναί
long-suffering toward all and of-the neither suspicion to-give
τινι προσπαθείας, ἢ προσκλίσεως πρός τινας, κατὰ
to-anyone of-attachment or of-partiality toward some according-to
τὸ παράγγελμα τοῦ Ἀποστόλου εἰπόντος· Μηδὲν ποιῶν
the precept of-the Apostle having-said nothing doing
κατὰ πρόσκλισιν, ἢ πάλιν φιλονεικίας ἣν ὡς ἀνοίκειον
according-to partiality or again of-contentiousness which as unbecoming

Χριστιανοῖς ὁ αὐτὸς ἀποπέμπεται εἰπών· Εἴ τις δοκεῖ
for-Christians the same sends-away having-said if anyone seems
φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν,
contentious to-be we such custom not have
οὐδὲ αἱ Ἐκκλησίαι τοῦ Θεοῦ· ὡς διὰ τούτων τῶν
nor the Churches — of-God so-that through these from-some
μὲν ὑφαιρεῖσθαι τὴν χρείαν, πρὸς οὓς ἂν φιλονείκως
indeed to-take-away the need toward whom — contentiously
ἔχωσι, τῶν δὲ ὑπερβαλεῖν, οἷς ἂν προσκεκλιμένοι
they-be from-others and to-give-excessively to-whom — inclined
τυγχάνωσιν. Ἔστι δὲ τὸ μὲν μισαδελφίας, τὸ
they-happen-to-be is and the(-one) indeed of-hatred-of-brothers the(-other)
δὲ προσπαθείας, τῆς μάλιστα διαβεβλημένης, ἐξ ὧν ἡ
and of-attachment the most condemned from which the
μὲν ἐξ ἀγάπης σύμπνοια τῆς ἀδελφότητος διασπᾶται,
indeed from love harmony of-the brotherhood is-torn-apart
ὑποψίαι δὲ πονηραὶ, καὶ ζῆλοι, καὶ ἔριδες, καὶ ὄκνοι
suspicions and evil and jealousies and strifes and sluggishness
πρὸς τὰς ἐργασίας ἀντεισέρχονται.
toward the works come-in-instead

2 Προσπαθείας μὲν οὖν καὶ φιλονεικίας διά τε τὰ
from-attachment indeed then and of-contentiousness because-of both the(-things)
εἰρημένα καὶ ἄλλα πολλὰ τοιαῦτα ἐπισυμβαίνοντα
said and other many such(-things) befalling
καθαρεύειν εἰς ἄκρον ἀναγκαῖον τοὺς τὰ πρὸς
to-be-pure to (the)-utmost (is)-necessary-for the(-ones) the(-things) for
τὴν χρείαν ἐπινέμοντας τῇ ἀδελφότητι. Διάθεσίν γε
the need distributing to-the brotherhood (a)-disposition at-least
μὴν τοιαύτην ἑαυτοῖς συνειδέναι ὀφείλουσι, καὶ σπουδὴν
indeed such in-themselves to-be-conscious-of they-ought and zeal
τοσαύτην ἐπιδείκνυσθαι αὐτοί τε καὶ οἱ τὴν ἄλλην
so-great to-show themselves both and the(-ones) the other

ἐργασίαν πρὸς τὴν τῶν ἀδελφῶν ὑπηρεσίαν ἐκτελοῦντες,
work for the of-the brothers service performing
ὡς οὐκ ἀνθρώποις, ἀλλ᾽ αὐτῷ τῷ Κυρίῳ ἐξυπηρετούμενοι,
as not to-men but himself to-the Lord ministering
τῷ διὰ πολλὴν ἀγαθότητα εἰς ἑαυτὸν λογιζομένῳ
the(-one) because-of much goodness to himself reckoning
τὴν εἰς τοὺς ἀνακειμένους αὐτῷ τιμήν τε καὶ σπουδὴν,
the toward the(-ones) dedicated to-him honor both and zeal
καὶ βασιλείας οὐρανῶν κληρονομίαν ὑπὲρ τούτων
and of-(the)-kingdom of-heavens inheritance for these(-things)
ἐπαγγελλομένῳ. Δεῦτε γὰρ, φησὶν, οἱ εὐλογημένοι
promising come for he-says the(-ones) blessed
τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν
of-the Father my inherit the prepared for-you
βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ὅτι ἐφ᾽ ὅσον
kingdom from (the)-foundation of-(the)-world because for as-much-as
ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων,
you-did to-one of-these the brothers my the least
ἐμοὶ ἐποιήσατε. Καὶ ἐκ τοῦ ἐναντίου τῆς ἀμελείας γνωρίζειν
to-me you-did(-it) and from the opposite of-the negligence to-know
τὸν κίνδυνον, μεμνημένους τοῦ εἰπόντος· Ἐπικατάρατος
the danger remembering the(-one) having-said cursed
πᾶς ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς. Ὅτι
(is)-every(-one) the(-one) doing the works of-(the)-Lord negligently because
οὐ μόνον τῆς βασιλείας ἐκβάλλονται, ἀλλὰ καὶ τὴν
not only from-the kingdom are-they-cast-out but also the
τοῦ Κυρίου φρικώδη καὶ φοβερὰν ἐκείνην ἐκδέχονται
of-the Lord dreadful and fearful that they-await
κατὰ τῶν τοιούτων ἀπόφασιν· Πορεύεσθε ἀπ᾽ ἐμοῦ, οἱ
against the such sentence go from me the(-ones)
κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον
cursed into the fire the eternal the prepared

τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Εἰ δὲ οἱ τὴν
for-the devil and the angels his if and the(-ones) the
ἐπιμέλειαν καὶ τὴν ὑπηρεσίαν προσάγοντες τοσοῦτον μὲν
care and the service bringing so-great indeed
τῆς σπουδῆς τὸ κέρδος εὑρίσκουσι, τοσοῦτον δὲ τῆς ἀμελείας
of-the zeal the gain find so-great and of-the negligence
τὸ κρῖμα ἐκδέχονται· πόσου ἀγῶνος χρεία τοῖς
the judgment await of-how-great of-struggle (is)-needed for-the(-ones)
ὑποδεχομένοις τὴν ὑπηρεσίαν πρὸς τὸ ἀξίους ἑαυτοὺς
receiving the service for the worthy themselves
ἀποδεῖξαι τῆς τῶν ἀδελφῶν τοῦ Κυρίου προσηγορίας;
to-show of-the of-the brothers of-the Lord appellation
διὰ τῆς τοῦ Κυρίου διδασκαλίας, εἰπόντος· Ὅστις γὰρ
through the of-the Lord teaching having-said whoever for
ἂν ποιήσῃ τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς,
— does the will of-the Father my the(-one) in heavens
οὗτός μου καὶ ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστιν.
this(-one) my both brother and sister and mother is
3 Ἐπεὶ ὅ γε μὴ τὸ θέλημα τοῦ Θεοῦ διὰ παντὸς
since the(-one) at-least not the will — of-God through all
τοῦ βίου σκοπὸν προθέμενος, ὥστε καὶ ἐν ὑγείᾳ τὸν
the life (as)-aim having-set-before so-that also in health the
κόπον τῆς ἀγάπης διὰ τῆς σπουδῆς τῶν τοῦ Κυρίου
toil of-the love through the zeal of-the of-the Lord
ἔργων ἐνδείκνυσθαι, καὶ ἐν ἀῤῥωστίᾳ πᾶσαν ὑπομονὴν
works to-show and in sickness all endurance
καὶ μακροθυμίαν μετὰ χαρᾶς ἐπιδείκνυσθαι, κίνδυνον ἔχει·
and long-suffering with joy to-show danger has
πρῶτον μὲν καὶ μέγιστον, ὅτι τοῦ Κυρίου ἀπηλλοτρίωται,
first indeed and greatest that from-the Lord he-has-been-estranged
καὶ τῆς τῶν ἀδελφῶν αὐτοῦ μερίδος, διὰ τὸ μὴ ποιεῖν
and from-the of-the brothers his portion because-of the not to-do

τὸ θέλημα τοῦ Θεοῦ, ἑαυτὸν ἀποσχίσας· δεύτερον δὲ, ὅτι
the will — of-God himself having-split-off second and that
ἀναξίως μετέχειν τολμᾷ τῶν τοῖς ἀξίοις ἡτοιμασμένων.
unworthily to-partake he-dares of-the(-things) for-the worthy prepared
Διόπερ ἀναγκαῖον καὶ ἐν τούτῳ μεμνῆσθαι τοῦ Ἀποστόλου
wherefore (it-is)-necessary also in this to-remember the Apostle
εἰπόντος· Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν μὴ εἰς κενὸν
having-said working-together and also we-exhort not in vain
τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς· καὶ τοὺς εἰς τόπον
the grace — of-God to-receive you and the(-ones) into (the)-place
ἀδελφῶν τοῦ Κυρίου κληθέντας μὴ καθυβρίσαι τὴν τοιαύτην
of-brothers of-the Lord called not to-outrage the such
τοῦ Θεοῦ χάριν, μηδὲ προδοῦναι τὸ τοσοῦτον ἀξίωμα διὰ
— of-God grace nor to-betray the so-great dignity through
τῆς ἀμελείας τῶν τοῦ Θεοῦ θελημάτων, ὑπακοῦσαι δὲ μᾶλλον
the neglect of-the — of-God wills to-obey but rather
τῷ αὐτῷ Ἀποστόλῳ λέγοντι· Παρακαλῶ ὑμᾶς ἐγὼ ὁ δέσμιος
the same Apostle saying I-exhort you I the prisoner
ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλήθητε.
in (the)-Lord worthily to-walk of-the calling with-which you-were-called

Εἰ χρὴ ἐν τῇ αὐτῇ κώμῃ πλείονας ἀδελφότητας συγκροτεῖσθαι

XXXV · SEVERAL BROTHERHOODS IN ONE VILLAGE

Like the members of the body, a brotherhood needs an eye, a superior who is farsighted, compassionate, and diligent in God's ordinances, and such men are so hard to find that several can hardly be found in one village. If two or three are found, they should share the charge, one supplying another's absence or going to a brotherhood that needs a guide. Separate houses breed rivalry, as among craftsmen, in hospitality or in numbers; they divide visitors and teach newcomers to judge between them. Where a separation has already been made, it must be corrected, since persisting in it is plain contentiousness. Needs are no excuse, since brothers living together are better supplied: one lamp and one hearth serve all, and half the men suffice to deal with outsiders. Humility is shown best when the superiors submit to one another, as the Lord sent out his disciples two by two, and the believers in Acts had one heart and soul though they numbered five thousand. He wishes that even brotherhoods in different places were under one care, in the bond of peace.

1 Τὸ ὑπόδειγμα τῶν μελῶν ἐπὶ πολλὰ ἀγομένων χρησίμως
the example of-the members to many(-things) led usefully
ἡμῖν διαρθροῖ τὸ προκείμενον. Ἐπεὶ οὖν ἔδειξεν ὁ
for-us articulates the(-thing) set-before since then showed the
λόγος, ὅτι τῷ μέλλοντι σώματι καλῶς καὶ κατὰ λόγον
word that for-the being-about body well and according-to reason
πρὸς πᾶσαν ἐνέργειαν συνηρμόσθαι χρεία ὀφθαλμῶν,
for every working to-be-fitted (there-is)-need of-eyes
καὶ γλώσσης, καὶ τῶν λοιπῶν, ὅσα ἀναγκαῖα καὶ
and of-tongue and of-the rest as-many-as (are)-necessary and
κυριώτατα, χαλεπὸν δὲ καὶ δυσεύρετον ψυχὴ δυναμένη
most-principal hard and and hard-to-find (is)-(a)-soul able
εἶναι ὀφθαλμὸς πλειόνων. Εἰ γὰρ καὶ προορατικὸν, καὶ ἐν
to-be (an)-eye of-many if for both far-seeing and in
λόγῳ τὸ αὔταρκες ἔχοντα, καὶ νηφαλέον, καὶ εὔσπλαγχνον,
speech the sufficient having and sober and compassionate

καὶ ἐν τελείᾳ καρδίᾳ ἐκζητοῦντα τὰ δικαιώματα τοῦ Θεοῦ,
and in perfect heart seeking-out the ordinances — of-God
τὸν προεστῶτα τῆς ἀδελφότητος ἐπιζητεῖ ἡ ἀκρίβεια, πῶς
the presiding(-one) of-the brotherhood requires the exactness how
δυνατὸν ἐν τῇ αὐτῇ κώμῃ τοιούτων πλειόνων ἐπιτυχεῖν;
(is-it)-possible in the same village of-such many to-find
Εἰ δὲ καὶ συμβαίη ποτὲ εὑρεθῆναι δύο ἢ τρεῖς, ὅπερ
if and also it-should-happen ever to-be-found two or three which
οὐχ εὔκολον οὐδὲ ἔγνωμέν ποτε· πολλῷ βέλτιον κοινωνεῖν
not easy nor did-we-know ever by-much better to-share
ἀλλήλοις τοῦ φροντίσματος τούτους καὶ ἐπικουφίζειν τὸν
with-one-another of-the charge these and to-lighten the
πόνον· ὡς ἐν τῇ τοῦ ἄλλου ἀποδημίᾳ, ἢ ἀσχολίᾳ, ἢ ἐν
toil so-that in the of-the other absence or occupation or in
ἄλλαις τισὶ περιστάσεσι, καθὼς χωρίζεσθαι συμβαίνει τῆς
other some circumstances as to-be-separated it-happens from-the
ἀδελφότητος τὸν ἕνα τὸν προεστῶτα, εἶναι τὸν ἕτερον εἰς
brotherhood the one the presiding(-one) to-be the other for
παραμυθίαν τῆς ἀπολείψεως· ἢ εἰ μὴ τοῦτο, ἀπιέναι εἰς
consolation of-the leaving or if not this to-go-away to
ἄλλην ἀδελφότητα δεομένην τοῦ ὁδηγήσοντος. Πολλὰ
another brotherhood needing the(-one) to-be-going-to-guide many(-things)
δὲ καὶ ἡ τῶν ἔξωθεν πραγμάτων πεῖρα εἰς τὸν
and also the of-the outside affairs experience toward the
προκείμενον σκοπὸν ὠφελεῖν ἡμᾶς δύναται. Ὡς οὖν καὶ
set-before aim to-benefit us can as then also
οἱ τῶν κοινῶν τεχνῶν ἔμπειροι ζηλοτύπως ἔχουσι
the(-ones) of-the common crafts experienced jealously are
πρὸς τοὺς ἀντιτέχνους, αὐτοῦ τοῦ πράγματος, κατὰ τὸ
toward the rival-craftsmen itself of-the matter in the
λανθάνον, τὰς φιλονεικίας ἐμποιεῖν πεφυκότος· οὕτω καὶ
hidden(-way) the contentions to-produce being-wont so also

ἐπὶ τῆς τοιαύτης ζωῆς, ὡς τὰ πολλὰ, συμβαίνει γίνεσθαι.
in the such life as for-the most-part it-happens to-come-about
Ἀρχόμενοι γὰρ ἀπὸ τοῦ διαμιλλᾶσθαι εἰς τὸ καλὸν καὶ
beginning for from the to-vie for the good and
σπουδάζειν ἀλλήλους ὑπερβαλέσθαι, ἢ ἐν ταῖς ξενοδοχίαις,
to-be-eager one-another to-surpass either in the hospitalities
ἢ ἐν τῇ αὐξήσει τοῦ ἀριθμοῦ τῶν συνασκουμένων,
or in the increase of-the number of-the(-ones) practicing-together
ἢ ἐν ἄλλαις τισὶ τοιούτοις ἔργοις, προϊόντες εἰς ἐριθείας
or in other some such works going-on into rivalries
ἐκπίπτουσιν. Εἶτα τοῖς μὲν ἐπιδημοῦσι τῶν ἀδελφῶν
they-fall then for-the indeed visiting of-the brothers
πολλὴν ἀμφιβολίαν συμβαίνειν γίνεσθαι καὶ δυσκολίαν
much uncertainty to-happen comes-about and difficulty
ἀντὶ ἀναπαύσεως, μεριζομένοις τὸν λογισμὸν, πρὸς τίνας
instead-of rest being-divided-in the reasoning to whom
χρὴ καταχθῆναι· ἥ τε γὰρ προτίμησις λυπηρὰ, καὶ
(it)-is-needful to-lodge the both for preference (is)-grievous and
τὸ ἀμφοτέρους πληροφορῆσαι ἀδύνατον, καὶ μάλιστα ὅταν
the both to-satisfy impossible and especially when
ἐπειγόμενοι τυγχάνωσι· τοῖς δὲ ἐξ ἀρχῆς προσιοῦσιν εἰς
hastening they-happen-to-be for-the and from (the)-beginning approaching to
τὸ συζῆν πολλὴν ἀδημονίαν παρέξουσι, τίνας δεῖ
the to-live-together much distress they-will-provide whom (it)-is-needful
προεστῶτας τῆς ἑαυτῶν ζωῆς ἑλέσθαι, καὶ πάντως ἐκ
(as)-presiding(-ones) of-the of-themselves life to-choose and surely from
τοῦ τινας αἱρεῖσθαι, τοὺς λοιποὺς ἀποδοκιμάζειν.
the some to-choose the rest to-reject

2 Εὐθὺς οὖν αὐτοὺς ἀπὸ τῆς πρώτης εἰς ἔπαρσιν συμβαίνει
at-once then them from the first(-step) to elation it-happens
βλάπτεσθαι, οὐχὶ τυποῦντας ἑαυτοὺς εἰς μάθησιν, ἀλλ'
to-be-harmed not molding themselves to learning but

ἐθιζομένους κριτὰς καὶ δοκιμαστὰς τῆς ἀδελφότητος
being-accustomed judges and testers of-the brotherhood
γίνεσθαι. Ὁπότε τοίνυν ἀγαθὸν μὲν οὐδὲν ὁμολογούμενόν
to-become when therefore good indeed nothing agreed
ἐστιν ἐν τῇ διαιρέσει τῶν οἰκήσεων, τὰ δὲ ὑπεναντία
is in the division of-the dwellings the and opposite(-things)
τοσαῦτα, τὸ χωρίζεσθαι ἀπ᾽ ἀλλήλων παντελῶς ἀσύμφορον.
so-many the to-be-separated from one-another (is)-altogether unprofitable
Εἰ δὲ προειλῆφθαί τινα συμβαίη, ἐπείγεσθαι χρὴ
if and to-have-been-forestalled some(-ones) it-should-happen to-hasten (it)-is-needful
πρὸς τὴν διόρθωσιν, καὶ μάλιστα μετὰ τὴν πεῖραν τῶν
to the correction and especially after the experience of-the
βλαβερῶν. Τὸ δὲ ἐπιμένειν τῇ κρίσει φιλονεικία σαφής.
harmful(-things) the and to-persist in-the judgment (is)-contentiousness plain
Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, φησὶν ὁ Ἀπόστολος,
if and anyone seems contentious to-be says the Apostle
ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ Ἐκκλησίαι
we such custom not have nor the Churches
τοῦ Θεοῦ. Τίνος γὰρ ἕνεκεν φήσουσιν εἰς τὴν συνάφειαν
— of-God of-what for for-the-sake will-they-say to the union
κωλύεσθαι; Πότερον χρειῶν; Ἀλλὰ πολλῷ εὐπορώτεραί
to-be-hindered whether of-needs but by-much better-supplied
εἰσιν ἐν τῇ κοινωνίᾳ, ἑνὸς λύχνου, καὶ μιᾶς ἑστίας, καὶ
are-they in the sharing of-one lamp and of-one hearth and
πάντων τῶν τοιούτων τοῖς πᾶσιν ἐπαρκέσαι δυναμένων.
of-all the such(-things) to-the all to-suffice able
Χρὴ γὰρ, εἴπερ τι ἕτερον, καὶ τὴν ἐν τούτοις
(it)-is-needful for if-ever anything else also the in these
εὐχέρειαν μεταδιώκειν ἐκ παντὸς τρόπου, ἐπὶ τὸ ἔλαττον
facility to-pursue by every way to the less
τὰς κτήσεις τῶν ἀναγκαίων συστέλλοντας. Ἔπειτα καὶ
the possessions of-the necessities contracting then also

τῶν ἔξωθεν τὰς χρείας ἐπεισαγόντων τῇ ἀδελφότητι,
of-the(-ones) outside the needs bringing-in to-the brotherhood
ἐν μὲν τῇ διαιρέσει πλειόνων χρεία, ἐν δὲ τῇ συνοικήσει
in indeed the division of-more (is-the)-need in but the dwelling-together
τῶν ἡμίσεων. Ὅπως δὲ δύσκολόν ἐστιν εὑρεθῆναι ἄνδρα
of-the halves how and hard it-is to-be-found (a)-man
μὴ καταισχύνοντα τὸ ὄνομα τοῦ Χριστοῦ, ἀλλ' ἀξίαν
not disgracing the name — of-Christ but worthy
τοῦ ἐπαγγέλματος τὴν τῶν ἔξωθεν συντυχίαν ἐν
of-the profession the with-the(-ones) outside meeting in
ταῖς ἀποδημίαις ποιούμενον, γνώριμον ὑμῖν πρὸ τῶν
the journeys making (is)-known to-you before the
ἐμῶν λόγων. Εἶτα οἱ ἐπιμένοντες τῇ διαστάσει πῶς
my words then the(-ones) persisting in-the separation how
δύνανται τοὺς ἐν τῷ κοινῷ βίῳ οἰκοδομεῖν, ἢ πρὸς
can-they the(-ones) in the common life build-up either to
εἰρήνην συνελαύνοντες, εἴ ποτε δέοι, ἢ πρὸς τὰς
peace drawing(-them)-together if ever (it)-be-needful or to the
ἄλλας ἐντολὰς παρακαλοῦντες, ὑπονοίας πονηρὰς ἐκ τοῦ
other commandments exhorting suspicions evil from the
μὴ ἡνῶσθαι καθ' ἑαυτῶν παρεχόμενοι; Καὶ πρὸς τούτοις
not to-be-united against themselves providing and besides these(-things)
ἀκούομεν τοῦ Ἀποστόλου γράφοντος Φιλιππησίοις, ὅτι
we-hear the Apostle writing to-Philippians that
Πληρώσατέ μου τὴν χαράν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν
fulfill my the joy that the same you-think the same
ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες, μηδὲν
love having one-souled the one(-thing) thinking nothing
κατ' ἐριθείαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ
through rivalry or vainglory but in-the humility

ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν· μὴ τὰ
one-another considering surpassing than-themselves not the(-things)
ἑαυτῶν σκοποῦντες, ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστοι.
of-themselves looking-to but also the(-things) of-others each
Τίς οὖν μείζων ἀπόδειξις ταπεινοφροσύνης τοῦ ἀλλήλοις 3
what then greater proof of-humility than-the to-one-another
ὑποταγῆναι τοὺς προεστῶτας τῆς ἀδελφότητος; Εἴτε
to-be-subjected the presiding(-ones) of-the brotherhood whether
γὰρ ἴσοι εἰσὶν ἐν τοῖς πνευματικοῖς χαρίσμασι, κάλλιόν
for equal they-are in the spiritual gifts finer
ἐστιν ἡ συνάθλησις. Ὥσπερ οὖν ὑπέδειξεν ἡμῖν αὐτὸς
is the contending-together as then showed us himself
ὁ Κύριος, ἀνὰ δύο δύο ἀποστείλας· καὶ ὁ ἕτερος αὐτῶν
the Lord by two two having-sent and the other of-them
αἱρήσεται πάντως μετὰ χαρᾶς ὑποτετάχθαι τῷ ἑτέρῳ,
will-choose surely with joy to-be-subjected to-the other
μεμνημένος τοῦ Κυρίου λέγοντος, ὅτι Ὁ ταπεινῶν
remembering the Lord saying that the(-one) humbling
ἑαυτὸν ὑψωθήσεται. Εἰ δὲ τὸν μὲν ἐλαττοῦσθαι, τὸν
himself will-be-exalted if and the(-one) indeed to-be-inferior the(-other)
δὲ ὑπερέχειν συμβαίνει, ὠφελιμώτερόν ἐστι προσληφθῆναι
and to-excel it-happens more-profitable it-is to-be-taken-up
ὑπὸ τοῦ ἰσχυροτέρου τὸν ἀσθενέστερον. Πῶς δὲ καὶ οὐχὶ
by the stronger the weaker how and also not
φανερὰ παρακοή ἐστι τοῦ ἀποστολικοῦ παραγγέλματος,
manifest disobedience is of-the apostolic precept
τοῦ λέγοντος· Μὴ τὰ ἑαυτῶν ἕκαστοι σκοποῦντες,
the(-one) saying not the(-things) of-themselves each looking-to
ἀλλὰ καὶ ἑτέρων ἕκαστοι; Λογίζομαι γὰρ μὴ εἶναι δυνατὸν
but also of-others each I-reckon for not to-be possible
ἐν τῇ διαιρέσει τοῦτο κατορθωθῆναι, ἑκάστου τάγματος τὴν
in the division this to-be-achieved each rank the

μὲν ὑπὲρ τῶν συνόντων μέριμναν ἰδιοποιουμένου, τῆς
indeed for the(-ones) together care appropriating from-the
δὲ ὑπὲρ τῶν ἄλλων φροντίδος ἠλλοτριωμένου, ὅπερ, ὡς
and for the others thought being-estranged which as
εἶπον, σαφῶς ἐναντιοῦται τῷ ἀποστολικῷ παραγγέλματι.
I-said clearly opposes to-the apostolic precept
Καὶ τῶν ἐν ταῖς Πράξεσιν ἁγίων πολλάκις μαρτυρουμένων,
and of-the in the Acts saints often attested
περὶ ὧν γέγραπται, ποτὲ μὲν ὅτι, Τοῦ πλήθους τῶν
about whom it-is-written at-times indeed that of-the multitude of-the(-ones)
πιστευσάντων ἦν καρδία καὶ ψυχὴ μία· ποτὲ δὲ ὅτι,
having-believed was (the)-heart and soul one at-times and that
Πάντες οἱ πιστεύσαντες ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ
all the(-ones) having-believed were in the same(-place) and
εἶχον ἅπαντα κοινά· πρόδηλον ὅτι οὐδεμία διάστασις ἦν ἐν
had all(-things) common (it-is)-manifest that no separation was in
τοῖς πᾶσιν, οὔτε ἐν ἐξουσίᾳ ἑαυτοῦ διῆγεν ἕκαστος, ἀλλὰ
the all nor in authority of-himself lived each but
ὑπὸ μίαν καὶ τὴν αὐτὴν οἱ πάντες ᾠκονομοῦντο φροντίδα·
under one and the same the all were-managed care
καὶ ταῦτα ἐν ὅλοις πεντακισχιλίοις τὸν ἀριθμὸν, ἐφ' ὧν
and this in whole five-thousand the number among whom
ἴσως οὐκ ὀλίγα ἦν τὰ κατὰ τὸν ἀνθρώπινον λογισμὸν
perhaps not few were the(-things) by the human reasoning
ἐμποδίζειν δοκοῦντα τῇ συναφείᾳ. Ὅπου δὲ τοσοῦτον
to-hinder seeming to-the union where but so-much
ἐλαττοῦνται οἱ καθ' ἑκάστην κώμην εὑρισκόμενοι, τίς
are-diminished the(-ones) in each village being-found what
ἐπιτρέπει λόγος διεστάναι αὐτοὺς ἀπ' ἀλλήλων; Εἴθε
permits reason to-stand-apart them from one-another would-that
δὲ ἦν δυνατὸν μὴ μόνον τοὺς ἐν τῇ αὐτῇ κώμῃ ἐπὶ
and it-were possible not only the(-ones) in the same village in

τὸ αὐτὸ συνηγμένους οὕτως εἶναι, ἀλλὰ καὶ πλείους
the same(-place) gathered thus to-be but also more
ἀδελφότητας, ἐν διαφόροις καθεστώσας τόποις, ὑπὸ μιᾷ
brotherhoods in various established places under one
φροντίδι τῶν δυναμένων ἀπροσκλίτως καὶ σοφῶς
care of-the(-ones) able without-partiality and wisely
οἰκονομεῖν τὰ πάντων ἐν τῇ ἑνότητι τοῦ πνεύματος
to-manage the(-things) of-all in the unity of-the spirit
καὶ τῷ συνδέσμῳ τῆς εἰρήνης οἰκοδομεῖσθαι.
and the bond of-the peace to-be-built-up

Περὶ τῶν ἀναχωρούντων ἀπὸ ἀδελφότητος

XXXVI · THOSE WHO WITHDRAW FROM THE BROTHERHOOD

Those who have once professed the common life may not leave it at will. A brother harmed by living with others must not hide the cause but expose the fault as the Lord commanded, first alone, then before those fit to judge; only if the brothers persist in the wrong may he separate, and then not from brothers but from strangers, since the Lord counts one who persists as a Gentile and a tax collector. One who leaves from his own levity must heal his weakness or be refused by every brotherhood. A brother called elsewhere by the Lord's command is not separating but fulfilling a dispensation. No other cause is allowed, since separation dishonors the name of Christ that gathered them and breeds suspicion, against the Lord's command to be reconciled before offering one's gift.

Τούς γε μὴν ἅπαξ καθομολογησαμένους ἀλλήλοις τὴν
the(-ones) at-least indeed once having-professed to-one-another the
ἐπὶ τὸ αὐτὸ ζωὴν ἀδιαφόρως ἀναχωρεῖν οὐχ οἷόν τε·
in the same(-place) life indifferently to-withdraw not possible —
διότι τὸ μὴ ἐπιμένειν τοῖς δεδογμένοις δύο αἰτίας ἔχει,
because the not to-persist in-the(-things) resolved two causes has

ἢ τὴν ἐκ τῆς συνοικήσεως βλάβην, ἢ τὸ ἄστατον τῆς
either the from the dwelling-together harm or the instability of-the
γνώμης τοῦ μεταβαλλομένου. Ὁ μὲν οὖν διὰ
mind of-the(-one) changing the(-one) indeed then because-of
τὸ βλάπτεσθαι ἀποσπώμενος ἀδελφῶν μὴ κρυπτέτω καθ'
the to-be-harmed being-drawn-away from-brothers not let-him-hide by
ἑαυτὸν τὴν αἰτίαν, ἀλλ' ἐλεγχέτω τὴν βλάβην, κατὰ τὸν
himself the cause but let-him-expose the harm according-to the
τρόπον τὸν παρὰ τοῦ Κυρίου παραδοθέντα, εἰπόντος· Ἐὰν
way the by the Lord handed-down having-said if
ἁμάρτῃ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ
sins the brother your go reprove him between you
καὶ αὐτοῦ μόνου, καὶ τὰ ἑξῆς. Καὶ ἐὰν μὲν διορθωθῇ
and him alone and the(-things) following and if indeed be-corrected
τὸ ἐπιζητούμενον παρ' αὐτοῦ, τούς τε ἀδελφοὺς
the(-thing) sought from him the both brothers
ἐκέρδησε, καὶ τὴν κοινωνίαν αὐτῶν οὐκ ἀτιμάζει· ἐὰν δὲ
he-gained and the communion their not he-dishonors if but
ἐπιμένοντας αὐτοὺς τῷ κακῷ καὶ μὴ καταδεχομένους τὴν
persisting them in-the evil and not accepting the
διόρθωσιν ἴδῃ, τοῖς τὰ τοιαῦτα κρίνειν ἱκανοῖς ἐπιδείξει·
correction he-see to-the(-ones) the such(-things) to-judge competent he-will-show
καὶ μετὰ τὴν τῶν πλειόνων μαρτυρίαν τότε χωριζέσθω.
and after the of-the many testimony then let-him-separate
Χωρισθήσεται δὲ οὐκέτι ἀδελφῶν, ἀλλὰ ἀλλοτρίων, τοῦ
he-will-separate and no-longer from-brothers but from-strangers the
Κυρίου τὸν ἐπιμένοντα τῷ κακῷ ἐθνικῷ καὶ τελώνῃ
Lord the(-one) persisting in-the evil to-(a)-Gentile and tax-collector
συγκρίνοντος. Ἔστω γάρ σοι, φησὶν, ὁ τοιοῦτος ὥσπερ
comparing let-be for to-you he-says the such(-one) as
ὁ ἐθνικὸς καὶ ὁ τελώνης. Εἰ δὲ διὰ ἰδίαν κουφότητα
the Gentile and the tax-collector if but because-of own levity

ἀποπηδᾷ τῆς συναφείας τῶν ἀδελφῶν, τὸ ἑαυτοῦ
he-leaps-away from-the union of-the brothers the his-own
ἀσθενὲς θεραπευσάτω, ἢ μὴ καταδεξάμενος, ἀπρόσδεκτος
weakness let-him-heal or not having-accepted(-it) unacceptable
ἔστω ταῖς ἀδελφότησιν. Ἐὰν δὲ διὰ ἐντολὴν τοῦ
let-him-be to-the brotherhoods if but because-of (a)-commandment of-the
Κυρίου ἄλλος ἀλλαχοῦ ἕλκηται, οὐ χωρίζονται οἱ τοιοῦτοι,
Lord one elsewhere be-drawn not separate the such(-ones)
ἀλλ' οἰκονομίαν πληροῦσιν. Ἄλλην δὲ αἰτίαν χωρισμοῦ
but (a)-dispensation they-fulfill other but cause of-separation
ἀδελφῶν ὁ λόγος οὐ καταδέχεται· πρῶτον μέν, ὅτι τὸ
of-brothers the word not accepts first indeed because the
συναγαγὸν ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
having-gathered(-them) name of-the Lord our Jesus Christ
ἀτιμάζεται· ἔπειτα δὲ, ὅτι οὐδὲ ἡ συνείδησις ἑκάστου
is-dishonored then and because not-even the conscience of-each
πρὸς τὸν ἕτερον καθαρεύειν δυνήσεται, ἀλλὰ δι' ὑποψίας
toward the other to-be-pure will-be-able but through suspicions
ἀλλήλοις ἔσονται. Τοῦτο δὲ ἐναντιοῦται σαφῶς τῷ
to-one-another they-will-be this and opposes clearly to-the
προστάγματι τοῦ Κυρίου εἰπόντος· Ἐὰν προσφέρῃς τὸ
command of-the Lord having-said if you-bring the
δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐκεῖ μνησθῇς, ὅτι ὁ
gift your to the altar and there you-remember that the
ἀδελφός σου ἔχει τι κατὰ σοῦ· ἄφες ἐκεῖ τὸ δῶρόν σου
brother your has something against you leave there the gift your
ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε· πρῶτον διαλλάγηθι
before the altar and go first be-reconciled
τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου.
to-the brother your and then having-come offer the gift your

Εἰ δεῖ προφάσει τῶν προσευχῶν καὶ τῆς ψαλμῳδίας ἀμελεῖν τῶν ἔργων, καὶ ποῖοι καιροὶ τῆς προσευχῆς ἐπιτήδειοι, καὶ πρῶτον, εἰ χρὴ ἐργάζεσθαι

XXXVII · WORK AND THE HOURS OF PRAYER

Since the Lord says the worker is worthy of his food and Paul commands working with one's own hands to have something to give, work is plainly required. Piety is no pretext for idleness, but a ground for greater toil, both to discipline the body and to provide for the weak. Idleness is condemned by Solomon's praise of the worthy wife, by Paul's example, and by the Lord's "wicked and slothful servant." Prayer is not a reason to neglect work: one can pray and sing with the heart while the hands work, thanking God for the skill and asking that the work be directed to his pleasure. Yet the appointed hours are kept, each with its own reminder: early morning, the third hour for the Spirit's descent, the sixth with the ninetieth psalm, the ninth after Peter and John, the day's end for thanks and confession, nightfall, midnight after Paul and Silas, and before dawn. Their variety keeps the soul from weariness.

1 Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντος, Ἄξιος, οὐχ
the Lord our Jesus Christ saying worthy not
ἁπλῶς ἕκαστος, οὐδὲ ὡς ἔτυχεν, ἀλλ' Ὁ ἐργάτης τῆς
simply each nor as it-happened but the worker of-the
τροφῆς αὐτοῦ ἐστι· καὶ τοῦ Ἀποστόλου προστάσσοντος
food his is and the Apostle commanding
κοπιᾷν καὶ ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶ τὸ ἀγαθὸν, ἵνα
to-labor and to-work with-the own hands the good that
ἔχωμεν μεταδιδόναι τῷ χρείαν ἔχοντι, τὸ μὲν,
we-may-have to-share with-the(-one) need having the indeed
ὅτι χρὴ ἐργάζεσθαι σπουδαίως, δῆλόν ἐστιν αὐτόθεν.
that (it)-is-needful to-work earnestly plain is from-this
Οὐ γὰρ πρόφασιν ἀργίας, οὐδὲ ἀποφυγὴν πόνου τὸν
not for (a)-pretext of-idleness nor (an)-escape from-toil the
τῆς εὐσεβείας σκοπὸν ἡγεῖσθαι χρὴ, ἀλλὰ ὑπόθεσιν
of-the piety aim to-consider (it)-is-needful but (an)-occasion

ἀθλήσεως, καὶ πόνων περισσοτέρων, καὶ ὑπομονῆς τῆς
of-contest and of-toils more and of-endurance the
ἐν θλίψεσιν, ἵνα καὶ ἡμῖν ἐξῇ λέγειν· Ἐν κόπῳ καὶ
in afflictions that also to-us it-be-possible to-say in toil and
μόχθῳ, ἐν ἀγρυπνίαις περισσοτέρως, ἐν λιμῷ καὶ δίψει·
hardship in watchings more-abundantly in hunger and thirst
οὐ μόνον διὰ τὸν ὑπωπιασμὸν τοῦ σώματος χρησίμου
not only because-of the buffeting of-the body useful
οὔσης ἡμῖν τῆς τοιαύτης ἀγωγῆς, ἀλλὰ καὶ διὰ τὴν
being for-us of-the such conduct but also because-of the
εἰς τὸν πλησίον ἀγάπην, ἵνα καὶ τοῖς ἀσθενοῦσι τῶν
toward the neighbor love that also to-the weak of-the
ἀδελφῶν δι᾽ ἡμῶν ὁ Θεὸς τὴν αὐτάρκειαν παρέχῃ,
brothers through us — God the sufficiency may-provide
κατὰ τὸν ἐν ταῖς Πράξεσιν ὑπὸ τοῦ Ἀποστόλου
according-to the in the Acts by the Apostle
δεδομένον τύπον, εἰπόντος· Πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω
given pattern having-said all(-things) I-showed you that so
κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων· καὶ
laboring (it)-is-needful to-help the weak and
πάλιν· Ἵνα ἔχητε μεταδιδόναι τῷ χρείαν ἔχοντι·
again that you-may-have to-share with-the(-one) need having
ὅπως καταξιωθῶμεν ἀκοῦσαι· Δεῦτε, οἱ εὐλογημένοι
so-that we-may-be-deemed-worthy to-hear come the(-ones) blessed
τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν
of-the Father my inherit the prepared for-you
βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γὰρ, καὶ
kingdom from (the)-foundation of-(the)-world I-hungered for and
ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐδώκατέ μοι πίνειν.
you-gave me to-eat I-thirsted and you-gave me to-drink

2 Καὶ ὅσον μὲν κακόν ἐστι τὸ τῆς ἀργίας, τί χρὴ
and how-much indeed evil is the(-thing) of-the idleness what (it)-is-needful
λέγειν, τοῦ Ἀποστόλου φανερῶς παραγγέλλοντος, τὸν μὴ
to-say the Apostle plainly commanding the(-one) not
ἐργαζόμενον μηδὲ ἐσθίειν; Ὡς οὖν ἀναγκαῖον ἑκάστῳ ἡ
working not-even to-eat as then necessary for-each (is)-the
καθημερινὴ τροφὴ, οὕτως ἀναγκαῖον καὶ τὸ κατὰ δύναμιν
daily food so necessary also the according-to power
ἔργον. Οὐ γὰρ μάτην ὁ Σολομὼν ἐν ἐπαίνῳ ἔγραψε τό·
work not for in-vain — Solomon in praise wrote the(-word)
Σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγε. Καὶ πάλιν περὶ ἑαυτοῦ ὁ
bread and idle not she-ate and again about himself the
Ἀπόστολος, ὅτι Οὔτε δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος,
Apostle that neither freely bread we-ate from anyone
ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ, νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι·
but in toil and hardship by-night and by-day working
καίτοι ἔχων ἐξουσίαν, τὸ Εὐαγγέλιον καταγγέλλων, ἐκ
although having authority the Gospel proclaiming from
τοῦ Εὐαγγελίου ζῆν. Καὶ ὁ Κύριος δὲ τὴν ὀκνηρίαν τῇ
the Gospel to-live and the Lord too the sloth with-the
πονηρίᾳ συνῆψεν, εἰπών· Πονηρὲ δοῦλε καὶ ὀκνηρέ. Ἀλλὰ
wickedness joined having-said wicked servant and slothful but
καὶ ὁ σοφὸς Σολομὼν οὐ μόνον ἐπαινεῖ τὸν ἐργαζόμενον
also the wise Solomon not only praises the(-one) working
διὰ τῶν μνημονευθέντων, ἀλλὰ καὶ ἐλέγχει τὸν ὀκνηρὸν
through the(-things) mentioned but also reproves the slothful
συγκρίσει τῶν μικροτάτων ζώων, λέγων· Ἴθι πρὸς τὸν
by-comparison of-the smallest creatures saying go to the
μύρμηκα, ὦ ὀκνηρέ. Ὅστε φοβεῖσθαι χρὴ, μήποτε ἡμῖν
ant O slothful(-one) so-that to-fear (it)-is-needful lest-ever to-us
τοῦτο καὶ ἐν ἡμέρᾳ κρίσεως προενεχθῇ, τοῦ δεδωκότος
this also in (the)-day of-judgment be-brought-forward of-the(-one) having-given

ἡμῖν τὴν πρὸς τὸ ἐργάζεσθαι δύναμιν, ἀναλογοῦσαν τῇ
us the for the to-work power proportionate to-the
δυνάμει τὴν ἐργασίαν ἐπιζητοῦντος. Διότι Ὧ παρέθεντο,
power the work seeking because to-whom they-entrusted
φησὶ, πολὺ, περισσότερον ἀπαιτήσουσιν αὐτόν. Ἐπεὶ δέ
he-says much more they-will-demand him since and
τινες προφάσει τῶν εὐχῶν καὶ τῆς ψαλμῳδίας παραιτοῦνται
some on-pretext of-the prayers and of-the psalmody refuse
τὰ ἔργα, εἰδέναι δεῖ, ὅτι ἐπὶ μὲν ἄλλων τινῶν
the works to-know (it)-is-needful that for indeed other some
ἑκάστου καιρός ἐστιν ἴδιος, κατὰ τὸν Ἐκκλησιαστὴν
of-each(-thing) (a)-time is own according-to the Ecclesiastes
εἰπόντα· Καιρὸς τῷ παντὶ πράγματι· προσευχῆς δὲ καὶ
having-said (a)-time for-the every matter of-prayer but and
ψαλμῳδίας, ὥσπερ οὖν καὶ ἑτέρων πλειόνων, πᾶς καιρὸς
of-psalmody as then also of-others more every time
ἐπιτήδειος, ὥστε μεταξὺ τὰς χεῖρας κινοῦντα πρὸς τὰ
(is)-suitable so-that meanwhile the hands moving to the
ἔργα, ποτὲ μὲν καὶ τῇ γλώσσῃ, ὅταν τοῦτο ᾖ δυνατὸν,
works at-times indeed also with-the tongue when this be possible
μᾶλλον δὲ χρήσιμον πρὸς οἰκοδομὴν τῆς πίστεως· εἰ δὲ
rather but useful for building-up of-the faith if but
μή γε, τῇ καρδίᾳ ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς
not at-least with-the heart in psalms and hymns and songs
πνευματικαῖς τὸν Θεὸν ἀνυμνεῖν. καθὼς γέγραπται, καὶ τὴν
spiritual — God to-hymn as it-is-written and the
προσευχὴν μεταξὺ τοῦ ἔργου πληροῦν· εὐχαριστοῦντες
prayer in-the-midst-of the work to-fulfill giving-thanks
μὲν τῷ δεδωκότι καὶ δύναμιν χειρῶν πρὸς ἔργα, καὶ
indeed to-the(-one) having-given both power of-hands for works and
σοφίαν διανοίας πρὸς ἀνάληψιν τῆς ἐπιστήμης, καὶ τὴν
wisdom of-mind for taking-up of-the skill and the

ὕλην χαρισαμένῳ, τήν τε ἐν τοῖς ἐργαλείοις, καὶ τὴν
material having-granted the both in the tools and the(-one)
ὑποκειμένην ταῖς τέχναις, ἅσπερ ἂν τύχωμεν ἐργαζόμενοι·
underlying the crafts whichever — we-happen working
προσευχόμενοι δὲ κατευθυνθῆναι τὰ ἔργα τῶν χειρῶν
praying and to-be-directed the works of-the hands
ἡμῶν πρὸς τὸν σκοπὸν τῆς πρὸς Θεὸν εὐαρεστήσεως.
our toward the aim of-the toward God good-pleasing
3 Οὕτω καὶ τὸ ἀμετεώριστον τῇ ψυχῇ κατορθοῦμεν, ὅταν
thus also the undistractedness for-the soul we-achieve when
ἐφ' ἑκάστῃ ἐνεργείᾳ τήν τε εὐοδίαν τῆς ἐργασίας παρὰ
at each working the both prosperity of-the work from
Θεοῦ αἰτῶμεν, καὶ τὴν εὐχαριστίαν τῷ δεδωκότι τὸ
God we-ask and the thanksgiving to-the(-one) having-given the
ἐνεργεῖν ἀποπληρῶμεν, καὶ τὸν σκοπὸν τῆς πρὸς αὐτὸν
to-work we-fulfill and the aim of-the toward him
εὐαρεστήσεως φυλάσσωμεν, καθὰ προείρηται. Ἐπεὶ, εἰ μὴ
good-pleasing we-keep as has-been-said-before since if not
ταῦτα τοῦτον ἔχει τὸν τρόπον, πῶς δύναται συμβαίνειν
these(-things) this has the manner how can to-agree
ἀλλήλοις τὰ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένα, τό τε
with-one-another the(-things) by the Apostle said the both
Ἀδιαλείπτως προσεύχεσθε, καὶ τὸ, Νύκτα καὶ ἡμέραν
unceasingly pray and the(-word) night and day
ἐργαζόμενοι; Οὐ μὴν ἐπειδὴ ἡ ἐν παντὶ καιρῷ εὐχαριστία
working not indeed since the in every time thanksgiving
καὶ νόμῳ προστέτακται, καὶ ἀναγκαία ἡμῶν τῇ ζωῇ
both by-law has-been-commanded and necessary our to-the life
δέδεικται κατά τε φύσιν καὶ λόγον, παρορᾶσθαι δεῖ
has-been-shown according-to both nature and reason to-be-overlooked (it)-is-needful
τοὺς διατετυπωμένους καιροὺς τῶν προσευχῶν ἐν ταῖς
the appointed times of-the prayers in the

ἀδελφότησιν, οὓς ἀναγκαίως ἐξελεξάμεθα, ἑκάστου ἰδίαν
brotherhoods which necessarily we-selected each own
τινὰ ὑπόμνησιν τῶν παρὰ τοῦ Θεοῦ ἀγαθῶν ἔχοντος· τὸν
some reminder of-the from — God goods having the
μὲν ὄρθρον, ὥστε τὰ πρῶτα κινήματα τῆς ψυχῆς, καὶ τοῦ
indeed early-morning so-that the first movements of-the soul and of-the
νοῦ, ἀναθήματα εἶναι Θεοῦ, καὶ μηδὲν ἕτερον ἀναλαμβάνειν
mind offerings to-be of-God and nothing other to-take-up
εἰς φροντίδα, πρὶν ἢ τῇ παρὰ Θεοῦ ἐννοίᾳ ἐνευφρανθῆναι,
into care before than in-the from God thought to-be-gladdened
καθὼς γέγραπται· Ἐμνήσθην τοῦ Θεοῦ, καὶ ηὐφράνθην·
as it-is-written I-remembered — God and I-was-gladdened
μηδὲ σῶμα κινῆσαι πρὸς ἐργασίαν, πρὶν ποιῆσαι τὸ
nor (the)-body to-move for work before to-do the(-thing)
εἰρημένον, ὅτι Πρὸς σὲ προσεύξομαι, Κύριε· καὶ τὸ
said that to you I-will-pray Lord and the(-word)
πρωὶ εἰσακούσῃ τῆς φωνῆς μου· τὸ πρωὶ παραστήσομαί
early you-will-hear the voice my the early I-will-stand-before
σοι, καὶ ἐπόψομαι· πάλιν δὲ κατὰ τὴν τρίτην ὥραν εἰς τὴν
you and I-will-watch again and at the third hour to the
προσευχὴν ἀνίστασθαι, καὶ ἐπισυνάγειν τὴν ἀδελφότητα,
prayer to-rise and to-gather the brotherhood
κἂν τύχωσιν ἄλλοι πρὸς ἄλλα ἔργα μεμερισμένοι· καὶ
even-if they-happen others to other works divided and
ὑπομνησθέντας τῆς τοῦ Πνεύματος δωρεᾶς, τῆς κατὰ
having-been-reminded of-the of-the Spirit gift the at
τὴν τρίτην ὥραν τοῖς ἀποστόλοις δεδομένης, προσκυνῆσαι
the third hour to-the apostles given to-worship
πάντας ὁμοθυμαδὸν, εἰς τὸ ἀξίους γενέσθαι καὶ αὐτοὺς τῆς
all with-one-accord for the worthy to-become also they of-the
ὑποδοχῆς τοῦ ἁγιασμοῦ, καὶ αἰτοῦντας τὴν παρ᾽ αὐτοῦ
reception of-the sanctification and asking the from him

ὁδηγίαν καὶ διδασκαλίαν πρὸς τὸ συμφέρον, κατὰ τὸν
guidance and teaching for the advantageous according-to the(-one)
εἰπόντα· Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεὸς, καὶ
having-said (a)-heart pure create in me O God and
πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου· μὴ ἀποῤῥίψῃς
(a)-spirit right renew in the inward-parts my not cast-away
με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον
me from the face your and the Spirit your the Holy
μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ· ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ
not take-away from me restore to-me the joy of-the
σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με· καὶ
salvation your and with-spirit ruling establish me and
ἀλλαχοῦ· Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ
elsewhere the Spirit your the good will-guide me in (a)-land
εὐθείᾳ· καὶ οὕτω πάλιν τῶν ἔργων ἔχεσθαι.
level and thus again to-the works to-hold

4 Κἂν ποῤῥωτέρω δέ που διὰ τὴν τῶν ἔργων ἢ τῶν
even-if farther and somewhere because-of the of-the works or of-the
τόπων φύσιν διάγοντες ἀπολειφθῶσι, πληροῦν ἀναγκαίως
places nature passing-time they-are-left-behind to-fulfill necessarily
ὀφείλουσιν ἐκεῖ ἕκαστα τὰ κοινῇ δόξαντα, μηδὲν
they-ought there each(-of) the(-things) in-common resolved in-nothing
διακρινόμενοι· ὅτι Ὅπου ἂν ὦσι δύο ἢ τρεῖς συνηγμένοι,
doubting that where — are two or three gathered
φησὶν ὁ Κύριος, εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν
says the Lord into the my name there I-am in
μέσῳ αὐτῶν. Ἐν δὲ τῇ ἕκτῃ ὥρᾳ κατὰ μίμησιν τῶν
(the)-midst of-them in and the sixth hour in imitation of-the
ἁγίων ἀναγκαίαν εἶναι τὴν προσευχὴν ἐκρίναμεν, τῶν
saints necessary to-be the prayer we-judged of-the(-ones)
λεγόντων· Ἑσπέρας καὶ πρωὶ καὶ μεσημβρίας διηγήσομαι
saying evening and morning and midday I-will-narrate

καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου· καὶ ὥστε
and I-will-announce and he-will-hear the voice my and so-that
ῥυσθῆναι ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ, ἅμα
to-be-rescued from mishap and demon of-midday at-once
καὶ τοῦ ψαλμοῦ τοῦ ἐνενηκοστοῦ λεγομένου· Ἡ δὲ ἐννάτη
also the psalm the ninetieth being-said the and ninth
παρ᾽ αὐτῶν ἡμῖν τῶν ἀποστόλων ἐν ταῖς Πράξεσιν ἀναγκαία
by themselves to-us the apostles in the Acts necessary
εἰς προσευχὴν παραδέδοται ἱστορούσαις, ὅτι Πέτρος καὶ
for prayer has-been-handed-down narrating that Peter and
Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν Ἐπὶ τὴν ὥραν τῆς προσευχῆς
John were-going-up to the temple at the hour of-the prayer
τὴν ἐννάτην. Συμπληρωθείσης δὲ τῆς ἡμέρας, ἡ εὐχαριστία
the ninth having-been-completed and the day the thanksgiving
περὶ τῶν ἐν αὐτῇ δεδομένων ἡμῖν ἢ κατωρθωμένων ἡμῖν,
for the(-things) in it given to-us or achieved by-us
καὶ τῶν παρεθέντων ἡ ἐξαγόρευσις, εἴτε ἑκούσιον, εἴτε
and of-the(-things) omitted the confession whether voluntary or
ἀκούσιον, εἴτε που καὶ λανθάνον πλημμέλημα γέγονεν,
involuntary or somewhere also hidden offense has-happened
ἢ ἐν ῥήμασιν, ἢ ἐν ἔργοις, ἢ κατ᾽ αὐτὴν τὴν καρδίαν, περὶ
either in words or in works or in itself the heart for
πάντων ἐξιλεουμένων ἡμῶν διὰ τῆς προσευχῆς τὸν Θεόν.
all propitiating us through the prayer — God
Μέγα γὰρ ὄφελος ἡ ἐπίσκεψις τῶν παρελθόντων πρὸς τὸ
great for (is)-(a)-profit the review of-the past(-things) for the
μὴ τοῖς ὁμοίοις αὖθις περιπεσεῖν. Διό φησιν· Ἃ λέγετε
not into-the like(-things) again to-fall wherefore he-says what you-say
ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.
in the hearts your on the beds your be-pricked

Καὶ πάλιν, τῆς νυκτὸς ἀρχομένης, ἡ αἴτησις τοῦ
and again of-the night beginning the request of-the
ἀπρόσκοπον ἡμῖν καὶ φαντασιῶν ἐλευθέραν ὑπάρξαι τὴν
untroubled for-us and of-fantasies free to-be the
ἀνάπαυσιν· λεγομένου καὶ ἐν ταύτῃ τῇ ὥρᾳ ἀναγκαίως
rest being-said also in this the hour necessarily
τοῦ ἐνενηκοστοῦ ψαλμοῦ. Τὸ δὲ μεσονύκτιον Παῦλος καὶ
of-the ninetieth psalm the and midnight Paul and
Σίλας ἡμῖν ἀναγκαῖον εἰς προσευχὴν παραδεδώκασιν, ὡς
Silas to-us necessary for prayer have-handed-down as
ἡ τῶν Πράξεων ἱστορία παρίστησι, λέγουσα· Κατὰ δὲ
the of-the Acts history presents saying at and
τὸ μεσονύκτιον Παῦλος καὶ Σίλας ὕμνουν τὸν Θεόν·
the midnight Paul and Silas were-hymning — God
καὶ ὁ Ψαλμῳδὸς λέγων· Μεσονύκτιον ἐξεγειρόμην τοῦ
and the Psalmist saying at-midnight I-rose the
ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.
to-give-thanks to-you for the judgments of-the righteousness your
Καὶ πάλιν χρὴ προφθάσαντας τὸν ὄρθρον εἰς τὴν
and again (it)-is-needful anticipating the dawn for the
προσευχὴν διανίστασθαι, ὡς μὴ ἐν ὕπνῳ καὶ κοίτῃ ὑπὸ τῆς
prayer to-rise so-as not in sleep and bed by the
ἡμέρας καταληφθῆναι, κατὰ τὸν εἰπόντα· Προέφθασαν
day to-be-overtaken according-to the(-one) having-said anticipated
οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ μελετᾷν τὰ λόγιά σου.
the eyes my toward dawn the to-meditate-on the sayings your
Ὧν οὐδένα χρὴ καιρὸν τοῖς ἐπιτετηρημένως
of-which no (it)-is-needful time for-the(-ones) attentively
εἰς δόξαν Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ προαιρουμένοις
for (the)-glory of-God and — of-Christ his choosing
ζῆν παρορᾶσθαι. Χρησιμεύειν δὲ λογίζομαι τὴν ἐν ταῖς
to-live to-be-overlooked to-be-useful and I-reckon the in the

προσευχαῖς καὶ ψαλμῳδίαις κατὰ τὰς ἐπικεχριμένας ὥρας
prayers and psalmodies at the appointed hours
διαφοράν τε καὶ ποικιλίαν, καὶ κατ᾽ ἐκεῖνο, ὅτι ἐν μὲν
difference both and variety and in that(-respect) that in indeed
τῇ ὁμαλότητι πολλάκις που καὶ ἀκηδιᾷ ἡ ψυχὴ, καὶ
the sameness often somewhere also grows-weary the soul and
ἀπομετεωρίζεται· ἐν δὲ τῇ ἐναλλαγῇ καὶ τῷ ποικίλῳ τῆς
is-distracted in but the alternation and the variety of-the
ψαλμῳδίας καὶ τοῦ περὶ ἑκάστης ὥρας λόγου νεαροποιεῖται
psalmody and of-the about each hour word is-renewed
αὐτῆς ἡ ἐπιθυμία καὶ ἀνακαινίζεται τὸ νηφάλιον.
its the desire and is-restored the sobriety

Δείξαντος ἱκανῶς τοῦ λόγου καὶ τὴν προσευχὴν ἀπαράλειπτον, καὶ τὸ ἐργάζεσθαι ἀναγκαῖον, ἀκόλουθον διδαχθῆναι ἡμᾶς ποῖαι τέχναι τῷ ἐπαγγέλματι ἡμῶν ἁρμόζουσιν

XXXVIII · WHICH CRAFTS SUIT THE PROFESSION

— would-we-call (a)-benefactor the(-one) shutting-up in-the body
τὰ ὀλέθρια, ἀλλὰ μᾶλλον τὸν διὰ ὀδύνης καὶ ἀμύξεως
the deadly(-things) but rather the(-one) through pain and lancing

εἰς τὸ φανερὸν ἕλκοντα, ὥστε ἢ διὰ ἐμέτου ἀπορῥίψαι
into the open drawing so-that either through vomiting to-throw-off
τὸ βλάπτον, ἢ καθόλου διὰ τῆς τοῦ πάθους φανερώσεως
the harmful(-thing) or generally through the of-the passion manifestation
εὔγνωστον ὑπάρξαι τὸν τρόπον τῆς θεραπείας· οὕτω,
well-known to-be the way of-the healing so
δηλονότι, καὶ τὸ κρύπτειν ἁμαρτίαν συγκατασκευάζειν ἐστὶ
clearly also the to-hide sin to-help-prepare is
τῷ νοσοῦντι τὸν θάνατον. Κέντρον γὰρ, φησὶ, τοῦ θανάτου
for-the sick(-one) the death (the)-sting for he-says of-the death
ἡ ἁμαρτία. Κρείσσους δὲ ἔλεγχοι μετὰ παῤῥησίας
(is)-the sin better and (are)-reproofs with boldness
κρυπτομένης φιλίας. Μήτε οὖν ἄλλος ἄλλῳ συγκρυπτέτω,
than-hidden friendship neither then one for-another let-him-conceal-with
ἵνα μὴ ἀδελφοκτόνος ἀντὶ φιλαδέλφου γένηται, μήτε
that not (a)-brother-killer instead-of brother-loving he-become nor
αὐτὸς ἑαυτῷ. Ὁ γὰρ μὴ ἰώμενος, φησὶν, ἑαυτὸν ἐν τοῖς
he for-himself the(-one) for not healing he-says himself in the
ἔργοις αὐτοῦ ἀδελφός ἐστι τοῦ λυμαινομένου ἑαυτόν.
works his brother is of-the(-one) destroying himself

Περὶ τῶν μὴ καταδεχομένων τὰ παρὰ τοῦ προεστῶτος τυπούμενα

XLVII · THOSE WHO REJECT THE SUPERIOR'S DECISIONS

A brother who does not accept what the superior has decided must either object, openly or privately, if he has a strong reason from Scripture, or keep silent and do what is commanded; if he is ashamed, he may use others to speak for him. So, if the order is against Scripture, he saves himself and the brothers from harm, and if it proves sound, he frees himself from doubting and gives the simpler no occasion to stumble. Those who persist in disobedience, grumbling in secret and sowing doubt, are to be cast out of the brotherhood, as Scripture commands, since a little leaven leavens the whole lump.

Τὸν δὲ μὴ καταδεχόμενον τὰ παρὰ τοῦ προεστῶτος
the(-one) and not accepting the(-things) by the presiding(-one)
ἐγκριθέντα χρὴ φανερῶς ἢ ἰδίᾳ αὐτῷ ἀντιλέγειν, εἴ
approved (it)-is-needful openly or privately him to-speak-against if
τινα ἔχοι λόγον ἰσχυρὸν κατὰ τὸ βούλημα τῶν Γραφῶν,
some he-have reason strong according-to the intent of-the Scriptures
ἢ σιωπήσαντα τὸ προστεταγμένον ποιεῖν. Εἰ δὲ αὐτὸς
or having-kept-silent the(-thing) commanded to-do if but he
αἰσχύνοιτο, ἄλλοις τισὶ μεσίταις πρὸς τοῦτο χρησάσθω,
be-ashamed other some mediators for this let-him-use
ἵνα, εἰ μὲν παρὰ τὴν Γραφὴν εἴη ἡ διαταγὴ, ἐξέληται
that if indeed contrary-to the Scripture be the ordinance he-may-deliver
καὶ αὐτὸς ἑαυτὸν καὶ τοὺς ἀδελφοὺς βλάβης· εἰ δὲ δειχθείη
both he himself and the brothers from-harm if but it-be-shown
κατὰ λόγον τὸν προσήκοντα γενομένη, καὶ ἑαυτὸν
according-to reason the fitting having-been-made also himself
διακρίσεως ματαίας καὶ ἐπικινδύνου ἐλευθερώσῃ. Ὁ γὰρ
from-doubting vain and dangerous he-may-free the(-one) for
διακρινόμενος, φησὶν, ἐὰν φάγῃ, κατακέκριται· ὅτι οὐκ ἐκ
doubting he-says if he-eat is-condemned because not from

πίστεως· καὶ τοῖς ἁπλουστέροις μηδένα δυσπειθείας ὄλισθον
faith and for-the simpler no of-intractability slip
ἐμποιήσῃ. Συμφέρει γὰρ, φησὶν ὁ Κύριος, ἵνα κρεμασθῇ
he-may-produce it-is-better for he-says the Lord that be-hung
μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔῤῥιπται
(a)-millstone of-(an)-ass around the neck his and he-has-been-thrown
εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν
into the sea than that he-cause-to-stumble one of-the little(-ones)
τούτων. Ἐὰν δέ τινες ἐπιμένωσι τῇ ἀπειθείᾳ, λάθρα
these if but some persist in-the disobedience secretly
μὲν καταμεμφόμενοι, μὴ δημοσιεύοντες δὲ τὴν λύπην, ὡς
indeed finding-fault not making-public but the grief as
καὶ διακρίσεως αἴτιοι τῇ ἀδελφότητι, καὶ τὴν πρὸς τὰς
also of-doubting causes to-the brotherhood and the toward the
ἐντολὰς πληροφορίαν διασαλεύοντες, καὶ δυσπειθείας καὶ
commandments assurance shaking and of-intractability and
παρακοῆς διδάσκαλοι, ἐκβαλλέσθωσαν τῆς ἀδελφότητος.
of-disobedience teachers let-them-be-cast-out from-the brotherhood
Ἔκβαλλε γὰρ, φησὶ, λοιμὸν ἐκ συνεδρίου, καὶ συνεξελεύσεται
cast-out for he-says (a)-pest from (the)-assembly and will-go-out-with
αὐτῷ νεῖκος· καὶ πάλιν· Ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν
him strife and again remove the wicked(-one) from you
αὐτῶν. Διότι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ.
yourselves because (a)-little leaven (the)-whole the lump leavens

Ὅτι οὐ δεῖ περιεργάζεσθαι τὰς οἰκονομίας τοῦ προεστῶτος, τῷ δὲ ἰδίῳ προσέχειν ἔργῳ

XLVIII · NOT PRYING INTO THE SUPERIOR'S ARRANGEMENTS

To keep anyone from falling into doubting, no one but those nearest the superior in rank and understanding, whom he takes into counsel, may pry into his arrangements. Having entrusted their souls to one who must give account to God, it is absurd to distrust him about trifles and fill oneself and others with suspicion. Each is to remain in his calling and attend to his own work, imitating the disciples, who, though the Lord's meeting with the Samaritan woman might have raised suspicion, asked him nothing.

Ὑπὲρ δὲ τοῦ μὴ ῥᾳδίως τινὰ τῷ τοιούτῳ πάθει
for and the not easily anyone in-the such passion
τῆς διακρίσεως εἰς βλάβην ἑαυτοῦ καὶ τῶν ἑτέρων
of-the doubting to harm of-himself and of-the others
περιπίπτειν, ἐκεῖνο καθόλου παραφυλακτέον ἐν ἀδελφότητι,
to-fall-into that altogether (is)-to-be-guarded in (a)-brotherhood
τὸ τὴν ἀρχὴν μηδένα τὰς τοῦ προεστῶτος οἰκονομίας
the — at-all no-one the of-the presiding(-one) arrangements
περιεργάζεσθαι, μηδὲ πολυπραγμονεῖν τὰ γινόμενα
to-pry-into nor to-meddle-with the(-things) happening
ἐκτὸς τῶν ἐγγυτέρων τοῦ προεστῶτος καὶ βαθμῷ καὶ
except the(-ones) nearer to-the presiding(-one) both in-rank and
συνέσει· οὓς καὶ εἰς τὴν περὶ τῶν κοινῶν βουλήν
in-understanding whom also into the about the common(-things) counsel
τε καὶ σκέψιν ἀναγκαίως παραλήψεται, πειθόμενος τῇ
both and consideration necessarily he-will-take-with(-him) obeying the
παραινέσει τοῦ εἰπόντος· Μετὰ βουλῆς πάντα ποίει. Εἰ
exhortation of-the(-one) having-said with counsel all(-things) do if
γὰρ τῶν ψυχῶν ἡμῶν ἐπετρέψαμεν αὐτῷ τὴν οἰκονομίαν,
for of-the souls our we-entrusted to-him the management

ὡς Θεῷ τὸν λόγον δώσοντι, ἀλόγιστον παντελῶς περὶ
as to-God the account going-to-give (it-is)-unreasonable altogether about
τῶν εὐτελεστάτων ἀπιστεῖν, καὶ ὑποψιῶν ἀτόπων κατὰ τοῦ
the most-trivial(-things) to-distrust and with-suspicions absurd against the
ἀδελφοῦ αὐτόν τε πληροῦσθαι, καὶ τοῖς ἄλλοις ἀφορμὴν
brother himself both to-be-filled and to-the others occasion
παρέχειν. Διόπερ, ἵνα μὴ τοῦτο συμβαίνῃ, ἕκαστος ἐν ᾧ
to-provide wherefore that not this happen each in what
ἐκλήθη, ἐν τούτῳ μενέτω· καὶ τῇ φροντίδι τῶν
he-was-called in this let-him-remain and to-the care of-the(-things)
αὐτῷ ἐπιβαλλόντων ὅλον ἑαυτὸν ἀποδοὺς, μηδὲν τὰς ἄλλας
to-him belonging whole himself having-given in-nothing the other
οἰκονομίας περιεργαζέσθω, μιμούμενος τοὺς ἁγίους μαθητὰς
arrangements let-him-pry-into imitating the holy disciples
τοῦ Κυρίου, ἐφ' ὧν, καίτοι τοῦ πράγματος τοῦ κατὰ
of-the Lord with whom although the matter the about
τὴν Σαμαρεῖτιν εἰς ὑποψίαν ἀγαγεῖν δυναμένου, ὅμως
the Samaritan-woman to suspicion to-lead being-able nevertheless
Οὐδεὶς, φησὶν, εἶπε· Τί ζητεῖς, ἢ τί λαλεῖς μετ' αὐτῆς;
no-one he-says said what do-you-seek or why do-you-speak with her

Περὶ τῶν ἀμφισβητουμένων ἐν τῇ ἀδελφότητι

XLIX · DISPUTES IN THE BROTHERHOOD

When brothers disagree about something, they must not strive with one another in contention but leave the decision to those more able. To keep order and avoid quibbling, one tested brother should either put the doubtful points before the brotherhood for common examination or refer them to the superior. As no one trusts tools to the unskilled, the handling of words belongs to the able, who can judge place, time, and manner, object prudently, and keep the solutions for the common good.

Περὶ δὲ τῶν ἀμφισβητουμένων ἐν τῇ ἀδελφότητι, ὅταν
about and the(-things) disputed in the brotherhood when
ἀσύμφωνοί τινες ὦσι περί τινος πράγματος, οὐ χρὴ
in-disagreement some be about some matter not (it)-is-needful
φιλονείκως ἀλλήλοις ἀντιτείνειν, ἀλλὰ ταμιεύεσθαι τοῖς
contentiously with-one-another to-strive but to-reserve for-the
δυνατωτέροις τὴν ἐπίκρισιν. Ὥστε δὲ μήτε τὴν τάξιν
more-able the decision so-that and neither the order
συγχεῖσθαι, πάντων ἐπερωτώντων, καὶ πάντοτε, μήτε
to-be-confused all asking and always nor
ἀφορμὴν ἐρεσχελίας καὶ φλυαρίας ἐγγίνεσθαι, ἕνα τινὰ
occasion of-quibbling and of-chatter to-arise one someone
εἶναι χρὴ τὸν δοκιμασθέντα, δυνατῶς ἔχειν ἢ
to-be (it)-is-needful the(-one) approved ably to-be either
εἰς κοινὴν ἐπίσκεψιν προτιθέναι τῇ ἀδελφότητι τὰ
for common examination to-put-before the brotherhood the(-things)
παρά τισιν ἀμφιβαλλόμενα, ἢ τῷ προέχοντι ἀνατίθεσθαι.
by some doubted or to-the excelling(-one) to-refer(-them)
Ἀκολουθοτέρα γὰρ καὶ ἐπιστημονικωτέρα ἡ διάσκεψις
more-consistent for and more-skilled the consideration
οὕτω τῶν ζητουμένων γενήσεται. Εἰ γὰρ ἑκάστῳ
so of-the(-things) sought will-become if for for-each

πράγματι ἐπιστήμης καὶ ἐμπειρίας χρεία, πολλῷ πλέον
matter of-knowledge and of-experience (there-is)-need by-much more
ἐν τοῖς τοιούτοις. Καὶ εἰ ἐργαλείων χρῆσιν οὐκ ἄν τις
in the such(-things) and if of-tools (the)-use not — anyone
ἐπιτρέψειεν ἀπείροις, πολλῷ μᾶλλον χρὴ τὴν τῶν
would-entrust to-the-inexperienced by-much more (it)-is-needful the of-the
λόγων μεταχείρισιν τοῖς δυνατοῖς συγχωρεῖν· οἳ καὶ τόπον
words handling to-the able to-allow who both place
καὶ καιρὸν καὶ τρόπον τῶν ἐπερωτήσεων ἱκανοὶ ἔσονται
and time and manner of-the questions competent will-be
διαγινώσκειν, ἀφιλονείκως τε καὶ φρονίμως ἀντιθέντες,
to-discern without-contention both and prudently objecting
καὶ συνετῶς ἀκούοντες, ἀκριβῶς φυλάσσειν τῶν
and intelligently hearing exactly to-keep of-the(-things)
ἐπιζητηθέντων τὰς λύσεις πρὸς οἰκοδομὴν τοῦ κοινοῦ.
inquired the solutions for building-up of-the community

Πῶς χρὴ ἐπιτιμᾷν τὸν προεστῶτα

L · HOW THE SUPERIOR REBUKES

The superior must not rebuke sinners in passion, since reproving a brother in anger does not free him from sin but entangles the rebuker in it; Paul bids him correct opponents with meekness. He must not be severe only when he himself is slighted and mild when another is despised, but rather more indignant then, so that he shows he hates the sin, not the sinner. Indignation that runs the other way shows that it springs from love of glory or of rule. He must show zeal for God's honor and compassion for the brother in danger, and be moved against every sin as sin.

Ἀλλὰ καὶ τὰς ἐπιτιμήσεις μὴ ἐμπαθῶς τοῖς ἡμαρτηκόσιν
but also the rebukes not passionately to-the(-ones) having-sinned
ὁ προεστὼς προσαγέτω. Τὸ γὰρ μετὰ θυμοῦ καὶ ὀργῆς
the presiding(-one) let-him-apply the for with anger and wrath
ἐλέγχειν τὸν ἀδελφὸν οὐχὶ ἐκεῖνόν ἐστιν ἁμαρτίας
to-reprove the brother not him is from-sin
ἐλευθερῶσαι, ἀλλ' ἑαυτὸν περιβαλεῖν πλημμελήμασι. Διόπερ
to-free but himself to-entangle in-offenses wherefore
φησίν· Ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους·
he-says in meekness correcting the(-ones) opposing
μηδὲ ἐν οἷς μὲν ἂν αὐτὸς παροφθῇ, σφοδρὸν εἶναι,
nor in which(-cases) indeed — he be-overlooked vehement to-be
ἐν οἷς δὲ ἂν ἄλλον καταφρονούμενον ἴδῃ, τὴν πρὸς
in which(-cases) but — another despised he-see the toward
τὸν ἡμαρτηκότα χρηστότητα ἐπιδείκνυσθαι· ἀλλὰ καὶ
the(-one) having-sinned kindness to-show but also
μᾶλλον δυσχεραίνειν ἐπὶ τῷ κακῷ τότε. Οὕτω γὰρ τῆς
rather to-be-vexed at the evil then thus for of-the
τε φιλαυτίας τὴν ὑποψίαν ἐκφεύξεται, καὶ ἀπόδειξιν δώσει
both self-love the suspicion he-will-escape and proof will-give
τοῦ μὴ τὸν ἡμαρτηκότα μισεῖν, ἀλλὰ τὴν ἁμαρτίαν
of-the not the(-one) having-sinned to-hate but the sin

ἀποστρέφεσθαι, τῇ διαφορᾷ τῇ ἑαυτοῦ πρὸς τὸν ἕτερον.
to-turn-from by-the difference the of-himself toward the other
Διαφορὰν δὲ ἀγανακτήσεως ποιούμενος, μὴ τὴν εἰρημένην,
(a)-difference but of-indignation making not the stated
ἀλλὰ τὴν ἐναντίαν, φανερός ἐστιν ὅτι οὔτε διὰ τὸν Θεὸν
but the opposite manifest he-is that neither because-of — God
οὔτε διὰ τὸν κίνδυνον τοῦ ἡμαρτηκότος. ἀλλὰ διὰ
nor because-of the danger of-the(-one) having-sinned but because-of
τὴν ἑαυτοῦ φιλοδοξίαν ἢ φιλαρχίαν ἀγανακτεῖ. Χρὴ
the of-himself love-of-glory or love-of-rule he-is-indignant (it)-is-needful
γὰρ, ζῆλον μὲν ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης ἀτιμαζομένου ἐν
for zeal indeed for the — of-God glory dishonored in
τῇ τῆς ἐντολῆς παραβάσει ἐπιδεικνύμενον, εὐσπλαγχνίαν
the of-the commandment transgression showing compassion
δὲ φιλαδελφίας ὑπὲρ τῆς τοῦ ἀδελφοῦ σωτηρίας ἔχοντα
and of-brotherly-love for the of-the brother salvation having
κινδυνεύοντος ἐν τῇ ἁμαρτίᾳ (ὅτι Ἡ ψυχὴ ἡ ἁμαρτάνουσα,
being-in-danger in the sin because the soul the sinning
αὐτὴ ἀποθανεῖται), ἐπὶ παντὸς ἁμαρτήματος ὡς κατὰ
it will-die at every sin as against
ἁμαρτήματος κινεῖσθαι, καὶ τῇ σφοδρότητι τῆς ἐκδικήσεως
(a)-sin to-be-moved and by-the vehemence of-the punishment
δεικνύειν τὸ διάπυρον τῆς διαθέσεως.
to-show the ardor of-the disposition

Ποίῳ τρόπῳ δεῖ διορθοῦσθαι τὸ πλημμέλημα τοῦ ἡμαρτηκότος

LI · CORRECTING THE OFFENDER

The superior should apply corrections as a physician, not angry with the sick but fighting the disease, curing each infirmity of the soul by its opposite: vainglory by humble tasks, idle talk by silence, excess sleep by watching in prayer, idleness by labor, unseemly eating by fasting, and grumbling by separation, so that no brother works with the grumbler or mixes his work with theirs, until his repentance shows him free of the passion. Then the work he did while grumbling is accepted, but even so it is put to another use, not to the brothers' service.

Καὶ τὰς διορθώσεις δὲ κατὰ τὸν τῆς ἰατρείας
and the corrections too according-to the of-the healing
λόγον προσαγέτω τοῖς ἐμπαθέσι, μὴ ὀργιζόμενος τοῖς
principle let-him-apply to-the(-ones) passionate not being-angry with-the
ἀσθενοῦσιν, ἀλλὰ τῇ νόσῳ μαχόμενος, καὶ ἀπεναντίον μὲν
sick but with-the disease fighting and opposite indeed
ἱστάμενος πρὸς τὰ πάθη, δι' ἐπιπονωτέρας δὲ, εἰ δέοι,
standing against the passions through more-laborious and if (it)-be-needful
διαγωγῆς ἰώμενος τὸ ἀῤῥώστημα τῆς ψυχῆς· οἷον
regimen healing the infirmity of-the soul for-example
τὴν κενοδοξίαν τοῖς ἐπιτάγμασι τῶν τῆς ταπεινοφροσύνης
the vainglory by-the injunctions of-the of-the humility
ἐπιτηδευμάτων· τὴν ἀργολογίαν τῇ σιωπῇ· ὕπνον ἄμετρον
practices the idle-talk by-the silence sleep immoderate
διὰ τῆς ἐν προσευχαῖς ἀγρυπνίας· ἀργίαν σώματος διὰ
through the in prayers wakefulness idleness of-body through
τῶν κόπων· βρῶσιν ἀπρεπῆ διὰ τῆς ἀσιτίας· γογγυσμὸν
the toils eating unseemly through the fasting grumbling
διὰ τοῦ ἀφορισμοῦ, ὥστε μήτε συνεργάζεσθαι αὐτῷ
through the separation so-that neither to-work-with him

τινα τῶν ἀδελφῶν ἐλέσθαι, μήτε τὸ παρ᾽ αὐτοῦ ἔργον
anyone of-the brothers to-choose nor the from him work
ἀναμιγνύναι τοῖς ἄλλων, καθὰ προείρηται, πλὴν εἰ
to-mix with-the(-works) of-others as has-been-said-before except if
μὴ ἄρα διὰ τῆς ἀνεπαισχύντου μετανοίας ἀπαλλαγεὶς τοῦ
not then through the unashamed repentance freed from-the
πάθους φανείη. Καὶ τότε τὴν ἐν τῷ γογγυσμῷ γενομένην
passion he-appear and then the in the grumbling done
ἐργασίαν προσδέχεσθαι· μηδὲ οὕτως εἰς ὑπηρεσίαν τῆς τῶν
work to-accept not-even so for service of-the of-the
ἀδελφῶν χρήσεως, ἀλλ᾽ εἰς ἑτέραν χρείαν οἰκονομοῦντας.
brothers use but for another need managing(-it)
Καὶ τούτων ὁ λόγος ἀρκούντως προαποδέδεικται.
and of-these the word sufficiently has-been-shown-before

Μετὰ ποίας διαθέσεως καταδέχεσθαι δεῖ τὰ ἐπιτίμια

LII · RECEIVING PENALTIES

As the superior must apply treatment without passion, so those treated must not take the penalties in enmity or call care given for their salvation tyranny. The sick trust physicians who cut, burn, and give bitter drugs, and count them benefactors, so the brothers should regard those who heal their souls by hard discipline. Paul says no one gladdens him but the one he grieves, and godly grief produces zeal, so one who looks to the end will count the one who causes godly grief a benefactor.

Ὥσπερ δὲ τὸν προεστῶτα εἴπομεν χρῆναι ἀπαθῶς
as and the presiding(-one) we-said (it)-to-be-needful dispassionately
προσάγειν τὰς θεραπείας τοῖς ἀσθενοῦσιν, οὕτω πάλιν
to-apply the treatments to-the sick so again
χρὴ τοὺς θεραπευομένους μὴ πρὸς ἔχθραν δέχεσθαι
(it)-is-needful the(-ones) being-treated not with enmity to-receive

τὰ ἐπιτίμια, μηδὲ τυραννίδα νομίζειν τὴν ἀπὸ εὐσπλαγχνίας
the penalties nor tyranny to-consider the from compassion
ἐπὶ σωτηρίᾳ τῆς ψυχῆς προσαγομένην αὐτῷ ἐπιμέλειαν.
for (the)-salvation of-the soul applied to-him care
Αἰσχρὸν γὰρ τοὺς μὲν τὰ σώματα νοσοῦντας τοσοῦτον
shameful for the(-ones) indeed in-the bodies sick so-much
τοῖς ἰατροῖς καταπιστεύειν, ὥστε, κἂν τέμνωσι, κἂν καίωσι,
to-the physicians to-trust so-that even-if they-cut even-if they-burn
καὶ πικροῖς τοῖς φαρμάκοις ἀνιῶσιν, εὐεργέτας λογίζεσθαι·
and with-bitter the drugs they-pain (as)-benefactors to-reckon(-them)
ἡμᾶς δὲ πρὸς τοὺς τῶν ψυχῶν ἡμῶν θεραπευτὰς, ὅταν
us but toward the of-the souls our healers when
δι᾽ ἐπιπόνου ἀγωγῆς τὴν σωτηρίαν ἡμῖν κατεργάζωνται,
through laborious regimen the salvation for-us they-work-out
μὴ τὴν αὐτὴν ἔχειν διάθεσιν, τοῦ Ἀποστόλου λέγοντος·
not the same to-have disposition the Apostle saying
Καὶ τίς ἐστιν ὁ εὐφραίνων με εἰ μὴ ὁ λυπούμενος
and who is the(-one) gladdening me if not the(-one) being-grieved
ἐξ ἐμοῦ; καὶ πάλιν· Ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν
by me and again behold for itself this the according-to God
λυπηθῆναι ὑμᾶς πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν.
to-be-grieved you how-much it-worked-out in you zeal
Ὥστε, πρὸς τὸ τέλος ἀποβλέποντα, εὐεργέτην προσήκει
so-that toward the end looking (a)-benefactor it-befits
κρίνειν τὸν τὴν κατὰ Θεὸν λύπην ἡμῖν ἐμποιοῦντα.
to-judge the(-one) the according-to God grief in-us producing

Πῶς οἱ τῶν τεχνῶν διδάσκαλοι διορθώσονται τοὺς παῖδας πταίοντας

LIII · MASTERS OF THE CRAFTS AND THEIR PUPILS

Those who teach the crafts may correct by themselves the pupils' faults in the craft itself. But faults that reveal a perverted character, such as disobedience, contradiction, laziness at work, idle talk, or lying, must be brought to the overseer of the common order, who devises the measure and manner of the cure. Since rebuke is a healing of the soul, it is not for everyone to rebuke, any more than to heal, unless the superior entrusts it to one he has tested.

Δεῖ μέντοι καὶ τοὺς τὰς τέχνας διδάσκοντας,
(it)-is-needful however also the(-ones) the crafts teaching
ὅσα εἰς αὐτὴν τὴν τέχνην ἐξαμαρτάνουσιν οἱ
as-many(-faults)-as in itself the craft commit the(-ones)
μανθάνοντες, ἐφ' ἑαυτῶν ἐλέγχειν τὸ πλημμέλημα, καὶ
learning by themselves to-reprove the offense and
ἐπανορθοῦσθαι τὰ σφάλματα. Ὅσα δὲ τῶν ἁμαρτημάτων
to-correct the mistakes as-many-as but of-the sins
τῆς τοῦ ἤθους διαστροφῆς ἐστι κατηγορήματα, οἷον
of-the of-the character perversion are charges for-example
ἀπείθειαι καὶ ἀντιλογίαι, καὶ ῥᾳθυμία περὶ τὰ ἔργα,
disobediences and contradictions and laziness about the works
ἢ ἀργολογία, ἢ ψεῦδος, ἢ ἄλλο τι τῶν τοιούτων
or idle-talk or falsehood or other something of-the such(-things)
ἀπειρημένων τοῖς εὐσεβέσιν, ἐπὶ τὸν ἔφορον τῆς κοινῆς
forbidden to-the pious to the overseer of-the common
εὐταξίας ἄγοντας δεῖ ἐλέγχειν, ὥστε παρ' αὐτοῦ καὶ
good-order leading(-them) (it)-is-needful to-reprove so-that by him both
τὸ μέτρον καὶ τὸν τρόπον τῆς ἰάσεως τῶν ἁμαρτημάτων
the measure and the manner of-the cure of-the sins

ἐπινοεῖσθαι. Εἰ γὰρ ἰατρεία ψυχῆς ἐστιν ἡ ἐπιτίμησις, οὐ
to-be-devised if for (a)-healing of-soul is the rebuke not
παντός ἐστιν ἐπιτιμᾷν, ὡς οὐδὲ τὸ ἰατρεύειν, πλὴν ἐὰν
of-everyone is(-it) to-rebuke as not-even the to-heal except if
μή τινι αὐτὸς ὁ προεστὼς ἐπιτρέψῃ μετὰ δοκιμασίας
not to-someone himself the presiding(-one) entrust with testing
πλείονος.
more

Περὶ τοῦ δεῖν τοὺς προεστῶτας τῆς ἀδελφότητος ἀλλήλοις τὰ καθ' ἑαυτοὺς ἀνατίθεσθαι

LIV · COUNCILS OF THE SUPERIORS

It is good for the superiors of the brotherhoods to meet at set times and places to refer to one another what has happened unexpectedly, the characters hard to handle, and how they dealt with each, so that a mistake is revealed by the judgment of many and what was done rightly is confirmed by their testimony.

Ἀγαθὸν δέ ποτε καὶ συνέδριον κατά τινας ὡρισμένους
(it-is)-good and at-times also (a)-council at some appointed
καιροὺς καὶ τόπους τῶν ἐπιτεταγμένων ταῖς ἀδελφότησι
times and places of-the(-ones) set-over the brotherhoods
γίνεσθαι· καθ' οὓς τά τε παρὰ λόγον ἀπαντήσαντα
to-be-held at which the both contrary-to reason having-befallen
πράγματα, καὶ τῶν ἠθῶν τὰ δυσμεταχείριστα, καὶ
matters and of-the characters the hard-to-handle and
ὅπως διέθηκαν ἕκαστον, ἀναθήσονται ἀλλήλοις, ὥστε καὶ
how they-dealt-with each they-will-refer to-one-another so-that also
τὸ ἐσφαλμένως ποτὲ γενόμενόν τινι τῇ κρίσει
the(-thing) erroneously ever done by-someone by-the judgment

τῶν πολλῶν ἀξιοπίστως ἀποκαλυφθῆναι, καὶ τὸ
of-the many credibly to-be-revealed and the(-thing)
κατορθωθὲν τῇ μαρτυρίᾳ τῶν πλειόνων βεβαιωθῆναι.
achieved by-the testimony of-the more to-be-confirmed

Εἰ τοῖς ἐκ τῆς ἰατρικῆς κεχρῆσθαι κατὰ σκοπόν ἐστι τῆς εὐσεβείας

LV · WHETHER MEDICINE SUITS PIETY

Each craft is God's gift to our weakness, and medicine, which removes the excess and supplies the lack in a body exposed to many harms, is given as a pattern for the healing of the soul. As after the curse we learned farming, so, condemned to a mortal body, we were given medicine. Herbs and remedies are found as food is, but the elaborate care that turns life toward the body is to be refused; medicine is used, if needed, without putting all hope of health in it. The Lord healed sometimes with clay, sometimes by his will alone, and left some to endure; so God heals us invisibly or through remedies. Surgery and bitter drugs are borne for the body, as rebukes for the soul. Not every sickness comes from nature or diet: some are scourges for sin, to be borne in quiet without medicine, some trials like Job's, examples like Lazarus's, or, like Paul's, a sign that he is only human. Medicine must not be shunned for others' abuse, nor trusted like a savior, but used, like Hezekiah's figs, with thanks to God and for his glory.

1 Ὥσπερ ἑκάστη τῶν τεχνῶν βοήθεια ἡμῖν πρὸς τὸ τῆς
as each of-the crafts (a)-help to-us for the of-the
φύσεως ἀσθενὲς ὑπὸ τοῦ Θεοῦ κεχάρισται, οἷον γεωργία
nature weak by — God has-been-granted for-example farming
μὲν, ἐπειδὴ οὐκ ἐξαρκεῖ τὰ αὐτομάτως ἐκ τῆς γῆς
indeed since not suffice the(-things) of-themselves from the earth
φυόμενα πρὸς τὴν τῶν χρειῶν παραμυθίαν· ὑφαντικὴ δὲ,
growing for the of-the needs relief weaving and
ἐπειδὴ ἀναγκαία ἡ τῶν σκεπασμάτων χρεία πρός τε τὸ
since necessary (is)-the of-the coverings need for both the

εὔσχημον καὶ τὰς ἀπὸ τοῦ ἀέρος βλάβας, καὶ οἰκοδομικὴ
decency and the from the air harms and building
ὁμοίως· οὕτω καὶ ἰατρική. Ἐπειδὴ τὸ ἐμπαθὲς ἡμῶν σῶμα
likewise so also medicine since the passible our body
ποικίλαις βλάβαις, ταῖς τε ἔξωθεν προσπιπτούσαις καὶ
to-various harms the both from-outside falling-upon and
ταῖς ἔνδοθεν ἀπὸ τροφῶν συνισταμέναις, ὑπόκειται, καὶ
the from-within from foods arising is-subject and
πλεονασμοῖς καὶ ἐλλείψεσι καταπονεῖται, ἡ ἰατρικὴ τέχνη
by-excesses and by-deficiencies is-afflicted the medical craft
εἰς τύπον τῆς κατὰ ψυχὴν θεραπείας τὴν ἀπόθεσιν τοῦ
for (a)-pattern of-the according-to soul healing the removal of-the
περισσοῦ, καὶ τὴν τοῦ λείποντος πρόσθεσιν ὑποτιθεμένη ὑπὸ
superfluous and the of-the lacking addition suggesting by
τοῦ πᾶσαν ἡμῖν τὴν ζωὴν οἰκονομοῦντος Θεοῦ συγκεχώρηται.
the all our the life managing God has-been-permitted
Ὥσπερ γὰρ, εἰ ἦμεν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, οὐδὲν
as for if we-were in the paradise of-the delight no
ἂν ἐπινοίας καὶ μόχθου γεωργικοῦ ἐπεδεήθημεν· οὕτω καὶ
— of-contrivance and of-toil of-farming would-we-have-needed so also
εἰ ἐν ἀπαθείᾳ ἦμεν κατὰ τὸ πρὸ τοῦ παραπτώματος
if in impassibility we-were according-to the before the fall
ἐν τῇ δημιουργίᾳ χάρισμα, οὐδενὸς ἂν τῶν ἐξ
in the creation gift of-none — of-the(-things) from
ἰατρικῆς πρὸς παραμυθίαν ἐχρῄζομεν. Ἀλλ' ὥσπερ μετὰ
medicine for relief would-we-need but as after
τὸ ἐξορισθῆναι εἰς τὸν τόπον τοῦτον, καὶ ἀκοῦσαι τὸ,
the to-be-banished into the place this and to-hear the(-word)
Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου,
in (the)-sweat of-the face your you-shall-eat the bread your
τότε τῇ μακρᾷ πείρᾳ καὶ τῇ περὶ τὴν γῆν ταλαιπωρίᾳ
then by-the long experience and the about the earth hardship

τῆς γεωργίας τὴν τέχνην συνεστησάμεθα εἰς παραμυθίαν
of-the farming the craft we-established for relief
τῶν ἐκ τῆς κατάρας λυπηρῶν, τὴν σύνεσιν ἡμῖν καὶ
of-the from the curse painful(-things) the understanding to-us and
κατάληψιν τῆς τέχνης ταύτης τοῦ Θεοῦ χαρισαμένου· οὕτω
grasp of-the craft this — God having-granted so
καὶ ἐπειδὴ ἐκελεύσθημεν εἰς τὴν γῆν πάλιν ἀποστραφῆναι,
also since we-were-ordered to the earth again to-return
ἀφ' ἧς ἐλήφθημεν, καὶ ὀδυνηρᾷ σαρκὶ συνεζεύχθημεν εἰς
from which we-were-taken and to-painful flesh we-were-yoked to
φθορὰν καταδεδικασμένῃ διὰ τὴν ἁμαρτίαν, καὶ διὰ
corruption condemned because-of the sin and because-of
τοῦτο τοῖς πάθεσι τούτοις ὑποβληθείσῃ, παρεσχέθη ἡμῖν
this to-the passions these subjected was-provided to-us
καὶ ἡ ἐκ τῆς ἰατρικῆς προσαγομένη τοῖς κάμνουσι,
also the from the medicine applied to-the(-ones) ailing
κατὰ τὸ ποσὸν γοῦν, ἐπικουρία.
according-to the amount at-any-rate help

2 Οὔτε γὰρ αὐτομάτως ἐκ τῆς γῆς ἐβλάστησαν αἱ βοτάναι,
not for of-themselves from the earth sprouted the herbs
αἱ πρὸς ἕκαστον τῶν παθῶν οἰκείως ἔχουσαι· ἀλλὰ,
the(-ones) for each of-the passions suitably being but
δηλονότι, τῷ βουλήματι τοῦ δημιουργοῦ πρὸς τὸν τῆς
clearly by-the will of-the creator for the of-the
ἡμετέρας ὠφελείας σκοπὸν ἐξηνέχθησαν. Ἡ μὲν οὖν ἐν
our benefit aim were-brought-forth the indeed then in
ταῖς ῥίζαις, καὶ τοῖς ἄνθεσιν, ἢ φύλλοις, ἢ καρποῖς, ἢ
the roots and the flowers or leaves or fruits or
ὀποῖς φύσις, ἢ ὅσα ἀπὸ μετάλλων, ἢ ὅσα ἐκ
juices nature or as-many-as from mines or as-many-as from
τῆς θαλάσσης πρὸς τὴν τῆς σαρκὸς ὠφέλειαν οἰκείως
the sea for the of-the flesh benefit suitably

ἔχειν ἐξεύρηται, ὅμοιά ἐστι τῆς τῶν ἐσθιομένων
to-be has-been-found like are to-the of-the(-things) eaten
καὶ πινομένων εὑρέσεως· τὸ δὲ περινενοημένον καὶ
and drunk discovery the(-thing) but over-elaborate and
περίεργον, καὶ ἀσχολίαν πολλὴν ἐμποιοῦν, καὶ οἱονεὶ
superfluous and occupation much producing and as-it-were
πᾶσαν ἡμῶν τὴν ζωὴν εἰς τὴν τῆς σαρκὸς ἐπιμέλειαν
all our the life to the of-the flesh care
περιστρέφον, παραιτητέον Χριστιανοῖς· καὶ σπουδαστέον
turning-round (is)-to-be-refused by-Christians and (is)-to-be-striven-for
οὕτω κεχρῆσθαι τῇ τέχνῃ, εἴποτε δέοι, ὡς μὴ ἐν αὐτῇ
so to-use the craft if-ever (it)-be-needful as not in it
τὴν πᾶσαν αἰτίαν τοῦ ὑγιαίνειν ἢ νοσεῖν τίθεσθαι, ἀλλ' ὡς
the whole cause of-the being-healthy or being-sick to-place but as
εἰς δόξαν Θεοῦ καὶ τύπον τῆς τῶν ψυχῶν ἐπιμελείας τὴν
for (the)-glory of-God and (a)-pattern of-the of-the souls care the
χρῆσιν τῶν ἀπ' αὐτῆς παραλαμβάνειν. Ἐν ἐρημίᾳ δὲ
use of-the(-things) from it to-take-up in want but
τῶν ἐξ ἰατρικῆς βοηθημάτων μὴ πᾶσαν ἔχειν τὴν ἐλπίδα
of-the from medicine helps not all to-have the hope
πρὸς τὴν τῶν λυπηρῶν παραμυθίαν ἐν τῇ τέχνῃ ταύτῃ,
for the of-the painful(-things) relief in the craft this
ἀλλ' εἰδέναι, ὅτι ἢ οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ
but to-know that either not he-will-allow us to-be-tempted beyond
ὃ δυνάμεθα ὑπενεγκεῖν, ἢ ὥσπερ τότε ὁ Κύριος, ποτὲ
what we-can to-bear or as then the Lord at-times
μὲν πηλὸν ποιῶν, ἐπέχριε, καὶ νίψασθαι προσέτασσεν εἰς
indeed clay making anointed and to-wash commanded in
τὸν Σιλωὰμ, ποτὲ δὲ ἠρκεῖτο τῷ βουλήματι μόνῳ,
— Siloam at-times and was-content with-the will alone
λέγων, Θέλω, καθαρίσθητι· τινὰς δὲ καὶ ἐναθλεῖν τοῖς
saying I-will be-cleansed some and also to-contend with-the

ἐπιπόνοις ἀφῆκε, δοκιμωτέρους αὐτοὺς διὰ τῆς πείρας
laborious(-things) he-left more-approved them through the experience
παρασκευάζων· οὕτω καὶ ἐφ' ἡμῶν, ὁτὲ μὲν ἀοράτως
preparing so also with us at-times indeed invisibly
ἐκ τοῦ ἀφανοῦς ἐφαπτόμενος, ὅταν τοῦτο συμφέρον ταῖς
from the unseen touching(-us) when this (is)-advantageous for-the
ψυχαῖς ἡμῶν καταμάθῃ, ὁτὲ δὲ καὶ ὑλικαῖς κεχρῆσθαι
souls our he-learns at-times and also material to-use
βοηθείαις ἐπὶ τῶν παθῶν ἡμῶν εὐδοκεῖ, τῇ παρατάσει
helps for the passions our he-is-pleased by-the prolongation
τῆς θεραπείας ἔμμονον τὴν μνήμην τῆς χάριτος ἐμποιῶν, ἢ
of-the treatment lasting the memory of-the grace producing or
καὶ τύπον τινὰ πρὸς τὴν ἐπιμέλειαν, ὡς εἶπον, τῆς ψυχῆς
also (a)-pattern some for the care as I-said of-the soul
παρεχόμενος. Ὡς γὰρ ἐπὶ τῆς σαρκὸς ἥ τε τοῦ ἀλλοτρίου
providing as for in the flesh the both of-the foreign
ἀπόθεσις ἀναγκαία, καὶ ἡ πρόσθεσις τοῦ ἐνδέοντος·
removal (is)-necessary and the addition of-the lacking
οὕτω καὶ ἐπὶ τῆς ψυχῆς ἡμῶν ἀποικονομεῖσθαι μὲν τὸ
so also in the soul our to-dispose-of indeed the
ἀλλότριον, προσλαμβάνειν δὲ τὸ κατὰ φύσιν προσῆκον.
foreign to-take-on and the according-to nature fitting
Ὅτι ὁ Θεὸς ἐποίησε τὸν ἄνθρωπον εὐθῆ· καὶ ἔκτισεν
because — God made the man upright and created
ἡμᾶς ἐπὶ ἔργοις ἀγαθοῖς, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν.
us for works good that in them we-should-walk

3 Καὶ ὥσπερ ἐκεῖ τομῶν, καὶ καύσεων, καὶ πικρῶν φαρμάκων
and as there cuttings and burnings and of-bitter drugs
μεταλήψεως ὑπὲρ τῆς τοῦ σώματος θεραπείας ἀνεχόμεθα·
taking for the of-the body healing we-endure
οὕτω καὶ ἐνταῦθα τὰ τμητικὰ τοῦ ἐλεγκτικοῦ λόγου, καὶ
so also here the cutting(-things) of-the reproving word and

τὰ πικρὰ τῶν ἐπιτιμήσεων φάρμακα ὑπὲρ τῆς κατὰ
the bitter of-the rebukes drugs for the according-to
ψυχὴν θεραπείας καταδέχεσθαι χρή. Ὅπερ τοῖς μὴ
soul healing to-accept (it)-is-needful which to-the(-ones) not
παιδευθεῖσιν ὁ προφητικὸς λόγος ἐπονειδίζων φησί· Μὴ
having-been-trained the prophetic word reproaching says surely-not
ῥητίνη οὐκ ἔστιν ἐν Γαλαάδ; ἢ ἰατρὸς οὐκ ἔστιν ἐκεῖ;
resin not (there)-is in Gilead or (a)-physician not is there
Διὰ τί οὐκ ἀνέβη ἴασις θυγατρὸς λαοῦ μου; Καὶ τὸ
because-of what not went-up (the)-healing of-(the)-daughter of-people my and the
ἐπὶ τῶν χρονίων δὲ παθῶν διὰ μακροῦ χρόνου καὶ διὰ
in the chronic too passions through long time and through
βοηθημάτων ἀλγεινῶν τε ὁμοῦ καὶ ποικίλων τὴν ἴασιν
helps painful both at-once and various the cure
ἀναμένειν, ἔνδειγμά ἐστι τοῦ καὶ τὰ τῆς ψυχῆς ἁμαρτήματα
to-await (an)-indication is of-the also the of-the soul sins
διὰ φιλοπόνου δεήσεως καὶ πολυχρονίου μετανοίας καὶ
through diligent prayer and long-lasting repentance and
ἀγωγῆς ἐπιπόνου, ἣν ἂν ὁ λόγος ἡμῖν αὐτάρκη πρὸς ἴασιν
regimen laborious which — the word for-us sufficient for cure
ὑποβάλῃ, ὀφείλειν ἡμᾶς ἐπανορθοῦσθαι. Οὐ τοίνυν, ἐπειδή
suggest to-owe us to-correct not therefore since
τινες οὐ καλῶς χρῶνται τῇ τέχνῃ τῇ ἰατρικῇ, φευκτέον ἡμῖν
some not well use the craft the medical (is)-to-be-fled by-us
πᾶσαν τὴν ἀπ᾽ αὐτῆς ὠφέλειαν. Οὐδὲ γὰρ, ἐπειδὴ μαγειρικῇ
all the from it benefit not-even for since cookery
πρὸς τρυφῆς ἐπίνοιαν οἱ περὶ τὰς ἡδονὰς ἀκόλαστοι
for of-luxury devising the(-ones) about the pleasures licentious
κέχρηνται, ἢ τῇ ἀρτοποιίᾳ, ἢ τῇ ὑφαντικῇ, ὑπερβαίνοντες
have-used or the bread-making or the weaving overstepping
τὸν ὅρον τῶν ἀναγκαίων, ἤδη ἡμᾶς πάσας ὁμοῦ χρὴ
the limit of-the necessities already us all together (it)-is-needful

παραιτεῖσθαι τὰς τέχνας· τὸ ἐναντίον μὲν οὖν, ἐκ τῆς
to-refuse the crafts the opposite indeed then from the
ὀρθῆς αὐτῶν χρήσεως τὸ ὑπ᾽ ἐκείνων παραφθειρόμενον
right their use the(-thing) by those being-corrupted
διελέγχειν. Οὕτω δὲ καὶ ἐπὶ τῆς ἰατρικῆς τὴν παρὰ τοῦ
to-refute so and also in the medicine the from —
Θεοῦ χάριν πονηρᾷ διαβάλλειν χρήσει οὐκ εὔλογον. Τό τε
God grace by-wicked to-slander use (is)-not reasonable the both
γὰρ ἐν ταῖς χερσὶ τῶν ἰατρῶν τὴν ἐλπίδα ἔχειν τῆς ἑαυτῶν
for in the hands of-the physicians the hope to-have of-the their-own
ὑγείας κτηνῶδες· ὅπερ πάσχοντάς τινας τῶν ἀθλίων ὁρῶμεν,
health (is)-brutish which suffering some of-the wretched we-see
οἳ καὶ σωτῆρας αὐτοὺς ὀνομάζειν οὐ παραιτοῦνται· τό
who even saviors them to-name not decline the
τε πάντη τὰς ἀπ᾽ αὐτῆς ὠφελείας ἀποφεύγειν φιλόνεικον.
both altogether the from it benefits to-flee (is)-contentious
Ἀλλ᾽ ὥσπερ ὁ Ἐζεκίας τὴν παλάθην τῶν σύκων οὐχὶ
but as — Hezekiah the cake of-the figs not
πρῶτον αἴτιον ὑγείας ἡγεῖτο, οὐδὲ τούτῳ τὴν αἰτίαν τῆς
(as)-first cause of-health considered nor to-this the cause of-the
ἰάσεως τοῦ σώματος ἐλογίζετο, προσετίθει δὲ τῇ δόξῃ τοῦ
cure of-the body reckoned added but to-the glory —
Θεοῦ καὶ τὴν ἐπὶ τῇ κτίσει τῶν σύκων εὐχαριστίαν· οὕτω
of-God also the for the creation of-the figs thanksgiving so
καὶ ἡμεῖς, παρὰ τοῦ ἀγαθῶς καὶ φρονίμως οἰκονομοῦντος
also we from the well and prudently managing
τὴν ζωὴν ἡμῶν Θεοῦ δεχόμενοι τὰς πληγάς, παρ᾽ αὐτοῦ
the life our God receiving the blows from him
πρῶτον μὲν αἰτοῦμεν τὴν γνῶσιν τοῦ λόγου καθ᾽ ὃν
first indeed we-ask the knowledge of-the reason according-to which
ἐπάγει τὰς μάστιγας, ἔπειτα δὲ τήν τε ἀπαλλαγὴν τῶν
he-brings the scourges then and the both deliverance from-the

ὀδυνηρῶν καὶ τὴν ὑπομονὴν, πρὸς τὸ σὺν τῷ πειρασμῷ
painful(-things) and the endurance for the with the temptation
παρασχεῖν καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν.
to-provide also the way-out of-the to-be-able us to-bear(-it)
Δοθεῖσαν δὲ ἡμῖν τῆς ἰάσεως τὴν χάριν, ἢ διὰ τοῦ 4
given and to-us of-the cure the grace either through the
οἰνελαίου, ὡς ἐπὶ τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστὰς,
oil-and-wine as in-the-case-of the(-one) having-fallen among the robbers
ἢ διὰ τῶν σύκων, ὡς ἐπὶ τοῦ Ἐζεκίου, εὐχαρίστως
or through the figs as in-the-case-of — Hezekiah thankfully
ὑποδεχόμεθα. Καὶ οὐδὲν διοισόμεθα, εἴτε ἐκ τοῦ ἀφανοῦς
we-receive and in-nothing shall-we-differ whether from the unseen
γένοιτο ἡμῖν ἡ ἐπιμέλεια τοῦ Θεοῦ, εἴτε καὶ διά τινος
come to-us the care — of-God or also through some
τῶν σωματικῶν· ἃ πολλάκις ἐνεργέστερον ἡμᾶς ἄγει
of-the bodily(-things) which often more-effectively us leads
εἰς συναίσθησιν τῆς παρὰ τοῦ Κυρίου χάριτος. Πολλάκις
to awareness of-the from the Lord grace often
δὲ καὶ πρὸς παιδείαν περιπεσόντες ταῖς νόσοις, μέρος
and also for training having-fallen-into the diseases (as)-part
τῆς παιδεύσεως καὶ τὴν διὰ τῶν ἐπιπόνων θεραπείαν
of-the training also the through the laborious(-things) treatment
ὑποστῆναι κατεδικάσθημεν. Οὔτε οὖν τομὰς, οὔτε καύσεις,
to-undergo we-were-condemned neither then cuttings nor burnings
οὔτε διὰ τῶν δριμέων καὶ ἐπιπόνων φαρμάκων ἀλγήματα,
nor through the sharp and laborious drugs pains
οὔτε ἀσιτίας, οὔτε διαίτης ἀκριβῆ μέτρα, οὔτε ἀποχὴν τῶν
nor fastings nor of-diet exact measures nor abstinence from-the
φθειρόντων παραιτεῖσθαι ἡμᾶς ὁ ὀρθὸς λόγος ὑπαγορεύει·
corrupting(-things) to-refuse us the right reason prescribes
σωζομένου (πάλιν λέγω) τοῦ σκοποῦ τῆς κατὰ ψυχὴν
being-kept again I-say of-the aim of-the according-to soul

ὠφελείας, ὡς ἐν ὑποδείγματος λόγῳ τὴν ἑαυτῆς ἐπιμέλειαν
benefit as in of-example way the of-itself care
παιδευομένης. Κίνδυνος δὲ οὐχ ὁ τυχὼν εἰς μετεωρισμὸν
being-taught (a)-danger and not the ordinary into distraction
τὴν διάνοιαν ἐκπεσεῖν, ὡς παντὸς πάθους τῶν ἐξ ἰατρικῆς
the mind to-fall as every passion of-the from medicine
βοηθημάτων προσδεομένου. Οὐ γὰρ πάντα φύσεώς εἰσιν
helps needing not for all of-nature are
ἀῤῥωστήματα, οὐδὲ ἐκ πλημμελοῦς διαίτης ἡμῖν, ἤ
infirmities nor from faulty diet to-us or
τινων ἄλλων σωματικῶν ἀρχῶν προσγινόμενα, πρὸς ἅπερ
some other bodily origins arising for which
ἐνίοτε ὁρῶμεν τὴν ἰατρικὴν χρησιμεύουσαν. Πολλάκις γὰρ
sometimes we-see the medicine being-useful often for
καὶ μάστιγες ἁμαρτημάτων εἰσὶ τὰ ἀῤῥωστήματα, εἰς
also scourges of-sins are the infirmities for
ἐπιστροφὴν προσαγόμενα. Ὃν γὰρ, φησὶν, ἀγαπᾷ Κύριος,
conversion applied whom for he-says loves (the)-Lord
παιδεύει· καὶ, Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς
he-disciplines and because-of this among you many (are)-weak
καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς
and sickly and sleep not-a-few if for ourselves
διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. Κρινόμενοι δὲ ὑπὸ Κυρίου,
we-judged not — would-we-be-judged being-judged but by (the)-Lord
παιδευόμεθα, ἵνα μὴ σὺν τ�ῳ κόσμῳ κατακριθῶμεν. Τοὺς
we-are-disciplined that not with the world we-be-condemned the(-ones)
οὖν τοιούτους ἡσυχάζοντας, καὶ ἀφεμένους τῶν ἰατρικῶν
then such keeping-quiet and having-let-go the medical
ἐπιτηδευμάτων, ὑπομένειν χρὴ τὰ ἐπαγόμενα,
practices to-endure (it)-is-needful the(-things) brought-on
ὅταν γνωρίσωμεν ἑαυτῶν τὰ πλημμελήματα, κατὰ τὸν
when we-recognize of-ourselves the offenses according-to the(-one)

εἰπόντα· Ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ·
having-said (the)-wrath of-(the)-Lord I-will-bear because I-sinned against-him
καὶ τὴν διόρθωσιν ἐπιδείκνυσθαι, διὰ τοῦ ποιεῖν καρποὺς
and the correction to-show through the to-do fruits
ἀξίους τῆς μετανοίας, καὶ μεμνῆσθαι τοῦ Κυρίου εἰπόντος·
worthy of-the repentance and to-remember the Lord having-said
Ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν
see well you-have-become no-longer sin that not worse
τί σοι γένηται. Γίνεται δέ ποτε καὶ κατὰ ἐξαίτησιν
something to-you happen it-happens and at-times also according-to (the)-demand
τοῦ πονηροῦ, ὥσπερ ἀγωνιστὴν μέγαν, συγκαθιέντος
of-the evil(-one) as (a)-contestant great sending-down
αὐτῷ εἰς τὸν ἀγῶνα τοῦ φιλανθρώπου Δεσπότου, καὶ
against-him into the contest the loving-mankind Master and
τὴν μεγαλαυχίαν αὐτοῦ διὰ τῆς εἰς ἄκρον ὑπομονῆς
the boasting his through the to (the)-utmost endurance
τῶν δούλων ἑαυτοῦ καθαιροῦντος· ὅπερ ἐπὶ τοῦ Ἰὼβ
of-the servants of-himself pulling-down which in-the-case-of — Job
γενόμενον μεμαθήκαμεν. Ἢ καὶ εἰς ὑπόδειγμα τοῖς
happening we-have-learned or also for example to-the(-ones)
ἀφερεπόνοις παράγονται ὑπὸ τοῦ Θεοῦ οἱ δυνάμενοι
shirking-toil are-brought-forward by — God the(-ones) able
μέχρι θανάτου ἐγκαρτερῆσαι τοῖς ἀλγεινοῖς· ὡς ὁ Λάζαρος,
until death to-persevere in-the painful(-things) as — Lazarus
ὃς, τοιούτοις ἕλκεσι συνεχόμενος, οὐδαμοῦ γέγραπται οὔτε
who with-such sores being-afflicted nowhere is-written either
αἰτήσας τι τὸν πλούσιον, οὔτε δυσαρεστηθεὶς τοῖς
having-asked anything the rich(-man) or having-been-displeased with-the
παροῦσι· διὸ καὶ ἔτυχε τῆς ἐν τῷ κόλπῳ τοῦ Ἀβραὰμ
present(-things) wherefore also he-obtained the in the bosom — of-Abraham
ἀναπαύσεως, ὡς ἀπολαβὼν τὰ κακὰ ἐν τῇ ζωῇ αὐτοῦ.
rest as having-received the evil(-things) in the life his

Εὕρομεν δὲ καὶ ἄλλην αἰτίαν ἀῤῥωστημάτων τοῖς ἁγίοις
we-found and also another cause of-infirmities to-the saints
συμβαίνουσαν, ὡς ἐπὶ τοῦ Ἀποστόλου. Ἵνα γὰρ μὴ
happening as in-the-case-of the Apostle that for not
δόξῃ ὑπερβαίνειν τὸν ὅρον τῆς ἀνθρωπίνης φύσεως, καὶ
he-seem to-exceed the limit of-the human nature and
μή τις αὐτὸν λογίσηται ἐν τῇ φυσικῇ κατασκευῇ ἔχειν
not anyone him reckon in the natural constitution to-have
τι περισσὸν (ὅπερ ἔπαθον οἱ Λυκάονες, στέμματα καὶ
something extraordinary which suffered the Lycaonians garlands and
ταύρους προσάγοντες), εἰς παράστασιν τῆς ἀνθρωπίνης
bulls bringing for (a)-showing of-the human
φύσεως, τῇ ἀῤῥωστίᾳ συνῆν διαρκῶς.
nature with-the infirmity he-lived-with continually

5 Τί οὖν τοῖς τοιούτοις παρὰ τῆς ἰατρικῆς γένοιτο κέρδος;
what then to-the such(-ones) from the medicine would-come gain
καὶ οὐχὶ μᾶλλον κίνδυνος, μετεωριζομένοις ἀπὸ τοῦ ὀρθοῦ
and not rather danger being-distracted from the right
λόγου εἰς τὴν τοῦ σώματος ἐπιμέλειαν; Τοῖς γε μὴν
reason to the of-the body care for-the(-ones) at-least indeed
ἐκ πονηρᾶς διαίτης τὴν ἀῤῥωστίαν ἑαυτοῖς συναθροίσασιν
from bad diet the sickness for-themselves having-gathered
οἷον τύπῳ τινὶ καὶ ὑπογραμμῷ χρηστέον τῇ τοῦ
as-it-were (as)-pattern some and (an)-outline (is)-to-be-used the of-the
σώματος θεραπείᾳ πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν, καθὰ
body healing for the of-the soul care as
πρότερον εἴρηται. Ἡ γὰρ ἀποχὴ τῶν βλαπτόντων
before has-been-said the for abstinence from-the(-things) harming
κατὰ τὸν ἰατρικὸν λόγον καὶ ἡμῖν ἐστιν ὠφέλιμος, ἡ
according-to the medical principle also for-us is profitable the
ἐκλογὴ τῶν χρησίμων, ἡ φυλακὴ τῶν παραγγελμάτων.
choice of-the useful(-things) the keeping of-the precepts

Καὶ αὐτὴ δὲ ἡ τῆς σαρκὸς ἀπὸ ἀῤῥωστίας πρὸς εὐεξίαν
and itself too the of-the flesh from sickness to health
μεταβολὴ παραμυθία γινέσθω πρὸς τὸ μὴ ἀπογινώσκειν
change consolation let-become for the not to-despair
ἡμᾶς τῆς ψυχῆς, ὡς οὐ δυναμένης ἐκ τῶν ἁμαρτημάτων
us of-the soul as not able from the sins
πρὸς τὴν οἰκείαν πάλιν ὁλοκληρίαν διὰ τῆς μετανοίας
to the proper again soundness through the repentance
ἐπανελθεῖν. Οὔτε οὖν φευκτέον πάντη τὴν τέχνην, οὔτε
to-return neither then (is)-to-be-fled altogether the craft nor
ἐπ᾽ αὐτῇ πάσας τὰς ἐλπίδας ἔχειν ἀκόλουθον. Ἀλλ᾽ ὡς
on it all the hopes to-have (is)-consistent but as
κεχρήμεθα μὲν τῇ γεωργικῇ, αἰτούμεθα δὲ παρὰ τοῦ
we-use indeed the farming we-ask and from —
Θεοῦ τοὺς καρπούς· καὶ τῷ κυβερνήτῃ μὲν τὸ πηδάλιον
God the fruits and to-the helmsman indeed the rudder
ἐπιτρέπομεν, τῷ Θεῷ δὲ προσευχόμεθα ἐκ τοῦ πελάγους
we-entrust — to-God but we-pray from the sea
ἀποσωθῆναι οὕτω καὶ ἰατρὸν εἰσάγοντες, ὅτε λόγος
to-be-brought-safe so also (a)-physician bringing-in when reason
συγχωρεῖ, τῆς πρὸς Θεὸν ἐλπίδος οὐκ ἀφιστάμεθα.
permits from-the toward God hope not we-stand-away
Ἐμοὶ δὲ καὶ πρὸς ἐγκράτειαν οὐ μικρὸν συντελεῖν ἡ
to-me and also toward self-control not little to-contribute the
τέχνη φαίνεται. Ὁρῶ γὰρ, ὅτι καὶ τρυφὰς ἀποκόπτει, καὶ
craft appears I-see for that both luxuries it-cuts-off and
πλησμονὴν διαβάλλει, καὶ ποικιλίαν διαίτης, καὶ περίεργον
surfeit it-censures and variety of-diet and superfluous
ἀρτυμάτων ἐπίνοιαν, ὡς ἀσύμφορον, ἀποπέμπεται· καὶ τὸ
of-seasonings devising as unprofitable it-dismisses and the
σύμπαν, τὴν ἔνδειαν μητέρα τῆς ὑγείας ἀποκαλεῖ, ὥστε καὶ
whole the want mother of-the health it-calls so-that also

κατὰ τοῦτο οὐκ ἄχρηστος ἡμῖν ἡ παρ᾽ αὐτῆς συμβουλή.
in this not useless to-us the from it counsel
Εἴτε οὖν χρώμεθά ποτε τοῖς τῆς ἰατρικῆς παραγγέλμασιν,
whether then we-use ever the of-the medicine precepts
εἴτε παραιτούμεθα, κατά τινα τῶν προαποδεδομένων
or we-decline according-to some of-the before-given
λόγων, ὁ σκοπὸς τῆς πρὸς Θεὸν εὐαρεστήσεως σωζέσθω,
reasons the aim of-the toward God good-pleasing let-be-kept
καὶ ἡ ὠφέλεια τῆς ψυχῆς οἰκονομείσθω, καὶ τὸ πρόσταγμα
and the benefit of-the soul let-be-managed and the command
τοῦ Ἀποστόλου πληρούσθω, εἰπόντος· Εἴτε οὖν ἐσθίετε, εἴτε
of-the Apostle let-be-fulfilled having-said whether then you-eat or
πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε.
drink or anything do all(-things) for (the)-glory of-God do
